ἀλλὰ ἐθεασάμην γε πολλὰ, καὶ ἄῤῥητα, καὶ πᾶσαν ὕβριν ὑπερπεπαικότα. Καί τοι πολλάκις ἑκὼν τοὔλαιον οὐκ ἔπινον, ἀποσβῆναι θέλων· ὁ δὲ, καὶ προσῆγέ με τοῖς δρωμένοις, καὶ τὸ φῶς μου πάντα τρόπον κατεμίαινεν.

κή. Ῥαδάμ. Ἅλις ἤδη τῶν μαρτύρων· ἀλλὰ καὶ ἀπόδυθι τὴν πορφυρίδα, ἵνα καὶ τὸν ἀριθμὸν ἴδωμεν τῶν στιγμάτων.
Παπαί! ὅλος οὑτοσὶ πελιδνὸς, καὶ κατάγραφος, μᾶλλον δὲ κυά- 2
νεός ἐστιν ἀπὸ τῶν στιγμάτων· τίνα οὖν κολασθείη τρόπον;
Ἆρ' ἐς τὸν Πυριφλεγέθοντά ἐστιν ἐμβλητέος, ἢ παραδοτέος τῷ 3
Κερβέρῳ; — Κυνίσκ. Μηδαμῶς· ἀλλ' εἰ θέλοις, ἐγώ σοι καινήν τινα καὶ πρέπουσαν αὐτῷ τιμωρίαν ὑποθήσομαι. — Ῥαδάμ.
Λέγε, ὡς ἐγώ σοι μεγίστην ἐπὶ τούτῳ χάριν εἴσομαι. — Κυ- 4
νίσκ. Ἔθος ἐστὶν οἶμαι τοῖς ἀποθνήσκουσι πᾶσι, πίνειν τὸ τῆς Λήθης ὕδωρ. — Ῥαδάμ. Πάνυ μὲν οὖν. — Κυνίσκ. Οὐκοῦν μόνος ἐξ ἁπάντων ἄποτος ἔστω.

κθ'. Ῥαδάμ. Διὰ τί δή; — Κυνίσκ. Χαλεπὴν οὕτως ὑφέξει τὴν δίκην, μεμνημένος οἷος ἦν, καὶ ὅσον ἐδύνατο ἐν τοῖς ἄνω, καὶ
ἀναπεμπαζόμενος τὴν τρυφήν. — Ῥαδάμ. Εὖ λέγεις· καὶ κα- 2
ταδεδικάσθω, καὶ παρὰ τὸν Τάνταλον ἀπαχθεὶς οὑτοσὶ, δεδέσθω, μεμνημένος ὧν ἔπραξε κατὰ τὸν βίον.

## ΣΤ'. ΧΑΡΩΝ, Η ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ. (*)

### Ἑρμῆς, καὶ Χάρων.

ά. Ἑρμ. Τί γελᾷς, ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον ἀπο-

---

Ὑπερπεπαικ.) Ὑπερπαίω τὸ ὑπερβάλλω. — Τοὔλ.) Τὸ ἔλαιον. — Ὁ δὲ) Μεγαπένθης. — Πάντα τρόπον) Κατὰ πάντα τρόπον.

κή. Ἅλις ἤδη) Ἱκανὴ ἡ μαρτυρία.

2. Κατάγρ.) Πλήρης στιγμάτων ἐστίν.

3. Πυριφλ.) Ποταμὸς πυρὸς ἐν ᾅδου οὗτος. — Ἐμβλητ.) Δεῖ ἐμβληθῆναι. — Κερβέρῳ) Κύων δὲ οὗτος, τρεῖς κεφαλὰς ἔχων, φύλαξ τοῦ ᾅδου. — Εἴσομ.) Οἶδά σοι χάριν λέγουσιν οἱ Ἕλληνες οἱ ἀρχαῖοι, τὸ παρ' ἡμῖν Εὐχαριστῶ.

4. Λήθης ὕδ.) Ποταμὸς ἐν ᾅδου, οὗ ἀπὸ τοῦ ὕδατος πίνουσαι αἱ ψυχαὶ, ἐπιλανθάνονται πάντα τὰ ἐν τῷ βίῳ· ὅρα καὶ Σημειώσ. 3. Ὥσπερ ἄλλος τις. — Ἐξ ἁπάντ.) Τὸ μόνος, ὡς ὑπέρθεσιν σημαῖνον φύσει, καὶ οὐκ ἀπὸ σχηματισμοῦ, πρὸς γενικὴν φέρεται πληθυντικὴν κατὰ τὰ ὑπερθετικά. Ἔστι δὲ καὶ προθετοπτώτως μετὰ τῆς Ἐξ, ἢ Ἀπό.

κθ'. Ὑφέξει τὴν δίκην) Καλῶς κολασθήσεται· τὸ γὰρ Ὑπέχω δίκην ἀντὶ τοῦ Κολάζομαι κεῖται. — Ὅσον ἐστ.) Καὶ καθ' ὅσον. — Ἀναπεμπαζόμενος) Εἰς νοῦν ἀνακαλῶν.

2. Τάνταλον) Λέγουσιν ὅτι ὁ Τάνταλος, ἄνθρωπος ὢν, ἠξιώθη γενέσθαι τοῖς θεοῖς ὁμοτράπεζος, καὶ ἀκούων, ὅσα ἔλεγον, ἔλεγε τοῖς ἀνθρώποις, καὶ διὰ τοῦτο οἱ θεοὶ ὀργισθέντες, κολάζουσιν αὐτὸν ἐν τῷ ᾅδῃ· θεωρῶν γὰρ δένδρα πλήρη καρπῶν, καὶ ποταμοὺς παραῤῥέοντας, οὐδὲν αὐτῶν δύναται ἀπογεύσασθαι, αὐτοῦ γὰρ προσιόντος, ἐκεῖνα φεύγουσιν. — Ἔπραξε) Ἐκείνων δηλ. ἃ ἔπραξεν· ἡ σύνταξις Ἀττική.

ϛ'. (*) Ἐπειδὴ ὑποτίθεται Χάρων εἰς περιήγησιν ἐπὶ γῆς ἀνελθὼν, καὶ βοηθείᾳ Ἑρμοῦ τῇ ἐπιθέσει τῶν ὀρέων, ἐπισκοπεῖται πάντα, ὅσα συμβαίνει ἐπὶ γῆς καθ' ἡμέραν, διὰ τοῦτο καὶ τοιαύτης εὐμοίρησεν ἐπιγραφῆς ὁ διάλογος οὗτος. Ἔνθα παίζων Λουκιανὸς ἤθη τε διδάσκει, καὶ τὴν ματαιοφροσύνην τῶν ἀνθρώπων ἐλέγχει ἐν σχήματι παιδιᾶς.

λιπὼν δεῦρο ἀνελήλυθας, εἰς τὴν παροῦσαν ἡμέραν οὐ πάνυ εἰωθὼς
2 ἐπιχωριάζειν τοῖς ἄνω πράγμασιν; — Χάρ. Ἐπεθύμησα, ὦ Ἑρ-
μῆ, ἰδεῖν ὁποῖά ἐστι τὰ ἐν τῷ βίῳ, καὶ ἃ πράττουσιν οἱ ἄνθρω-
ποι ἐν αὐτῷ, ἢ τίνων στερούμενοι πάντες οἰμώζουσι κατιόντες
3 παρ' ἡμᾶς· οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευσεν. Αἰτησάμε-
νος οὖν παρὰ τοῦ Ἅδου καὶ αὐτὸς, ὥσπερ καὶ ὁ Θετταλὸς ἐ-
κεῖνος νεανίσκος, μίαν ἡμέραν λειπόνεως γενέσθαι, ἀνελήλυθα ἐς
τὸ φῶς· καί μοι δοκῶ ἐς δέον ἐντετυχηκέναι σοί· ξεναγήσεις γάρ
εὖ οἶδ' ὅτι με ξυμπερινοστῶν, καὶ δείξεις ἕκαστα, ὡς ἂν εἰδὼς
4 ἅπαντα. — Ἑρμ. Οὐ σχολή μοι, ὦ πορθμεῦ· ἀπέρχομαι γάρ
τι διακονησόμενος τῷ ἄνω Διῒ τῶν ἀνθρωπικῶν· ὁ δὲ ὀξύθυμός
τέ ἐστι, καὶ δέδια μὴ βραδύναντά με ὅλον ὑμέτερον ἐάσῃ εἶναι,
παραδοὺς τῷ ζόφῳ· ἢ, ὅπερ τὸν Ἥφαιστον πρώην ἐποίησε, ῥίψῃ
κἀμὲ τεταγὼν τοῦ ποδὸς ἀπὸ τοῦ θεσπεσίου βηλοῦ, ὡς ὑπο-
5 σκάζων γέλωτα παρέχοιμι καὶ αὐτὸς οἰνοχοῶν. — Χάρ. Περιόψει
οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς, καὶ ταῦτα ἑταῖρος, καὶ
ξύμπλους, καὶ ξυνδιάκτορος ὤν; Καὶ μὴν καλῶς εἶχεν, ὦ παῖ
Μαίας, ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μηδεπώποτέ σε ἢ ἀν-
6 τλεῖν ἐκέλευσα, ἢ πρόσκωπον εἶναι· ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ
καταστρώματος ἐκταθεὶς, ὤμους οὕτω καρτεροὺς ἔχων· ἢ εἴ τινα
λάλον νεκρὸν εὕροις, ἐκείνῳ παρ' ὅλον τὸν πλοῦν διαλέγῃ. Ἐγὼ
7 δὲ πρεσβύτης ὢν, τὴν δικωπίαν ἕλκων, ἐρέττω μόνος. Ἀλλὰ πρὸς
τοῦ πατρὸς, ὦ φίλτατον Ἑρμίδιον, μὴ καταλίπῃς με περιη-

---

— Εἰς τὴν παροῦσαν ἡμέρ.) Εἰς τὴν παροῦσαν ἡμέραν, εἰς τὸ φῶς λέγειν ἔθος ἦν παρ' Ἕλλησιν· ὅθεν Αἰσχ. Σωκρ. ἐν Μενεξ. γ'. Εἰ στερήσομαι τοῦδε, φησί, τοῦ φωτὸς, καὶ τῶν ἀγαθῶν. Τὸν Χάρωνα δὲ πλάττει λέγειν ὅτι ἐν ᾅδου μὲν σκότος, ἔνθα αὐτὸς διατρίβει, ἐπὶ γῆς δὲ ἡμέρα.

3 Παρὰ τοῦ Ἅδου) Ἐννοεῖται δὲ τὸν Πλούτωνα· οὗτος γὰρ ἦν ἐν ᾅδου βασιλεύς. — Καὶ ὁ Θετταλ.) Τὸν Πρωτεσίλαον λέγει. Τοῦτον γὰρ φασὶν ἀποθανόντα καὶ τὸν χωρισμὸν τῆς γυναικὸς μὴ φέροντα, δεηθῆναι Πλούτωνος μίαν ἡμέραν ἀναβιῶναι, καὶ ὀφθῆναι τῇ γυναικί, ἤρα γὰρ αὐτῆς περιπαθῶς· τὸν δὲ Πλούτωνα ἐᾶσαι, καὶ φανέντα ἰδοῦσα Λαοδάμεια ἡ γυνὴ αὐτοῦ, ἀπέθανεν. — Λειπόνεως γεν.) Λιπεῖν δηλ. τὴν ναῦν. Ἡ δ' ὀνομαστικὴ διὰ τὴν ταὐτοπροσωπίαν· τὸ δὲ Γενέσθαι ἀπὸ τοῦ Γίνομαι. — Ὡς ἂν εἰδ.) Οἶδα. Ὡς ἐπιστάμενος δηλ. σὺ, ὦ Ἑρμῆ, ἅπαντα. Καὶ ἔστιν ὁ Ἂν παρέλκων μὲν οὐ, δύναμιν δὲ τινα παρέχων τῷ Ὡς.

4. Οὐ σχολ.) Ἐλλείπει Ἐστίν. — Τῷ ἄνω Διῒ) Καὶ ὁ Πλούτων γὰρ ὀνομάζεται κάτω Ζεὺς, ὡς ἐν Ἅδου τὴν διατριβὴν ποιούμενος, ὅθεν ὁ Ζεὺς ἄνω· ὡς ἐν οὐρανῷ οἰκῶν. — Ὁ δὲ) Ἄνω Ζεύς. — Ῥίψῃ κἀμ.) Θέλοντα βοηθῆσαι τῇ μητρὶ Ἥρᾳ Ἥφαιστον Ζεύς.

Ῥίψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ
θεσπεσίοιο.

Ὅμηρ. Ἰλ. Α. 596. ὁ δὲ, χολωθεὶς, παρεῖχε γέλωτα τοῖς θεοῖς ὑποσκάζων. — Τεταγ.) Διατείνας καὶ διατινάξας, καὶ ῥίψας· ἔστι δὲ παρὰ τοῦ τάζω τὸ τείνω.

5. Καὶ ταῦτα) Ποιήσεις δηλ. — Παῖ Μαίας) Ὦ Ἑρμῆ. Διὸς γὰρ καὶ Μαίας ὁ Ἑρμῆς.

6. Διαλέγῃ) Ὁ γὰρ Ἑρμῆς καὶ πάλης καὶ λόγων θεὸς λέγεται· ὅθεν προσέθηκε τὸ, Ὤμους καρτερούς· καὶ τὸ, Διαλέγεσθαι λάλοις.

7. Πρὸς τοῦ πατρ.) Διὸς δηλ. Διὸς

γῆσαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὥς τι καὶ ἰδὼν ἐπανέλθοιμι·
ὡς ἢν μὲ σὺ ἀφῇς, οὐδὲν τῶν τυφλῶν διοίσω· καθάπερ γὰρ ἐ-
κεῖνοι σφάλλονται διολισθαίνοντες ἐν τῷ σκότῳ, οὕτω δὴ κἀγὼ
σοι ἔμπαλιν ἀμβλυώττω πρὸς τὸ φῶς. Ἀλλὰ δός, ὦ Κυλλήνιε,
μοι ἐς ἀεὶ μεμνησομένῳ τὴν χάριν.

β. Ἑρμ. Τουτὶ τὸ πρᾶγμα πληγῶν αἴτιον καταστήσεταί
μοι. Ὁρῶ γοῦν ἤδη τὸν μισθὸν τῆς περιηγήσεως οὐκ ἀκόνδυ-
λον παντάπασιν ἡμῖν ἐσόμενον· ὑπουργητέον δὲ ὅμως· τί γὰρ ἂν
καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; Πάντα μὲν οὖν σε 2
ἰδεῖν καθ' ἕκαστον ἀκριβῶς ἀμήχανόν ἐστιν, ὦ πορθμεῦ. Πολ-
λῶν γὰρ ἂν ἐτῶν ἡ διατριβὴ γένοιτο. Εἶτα ἐμὲ μὲν κηρύττεσθαι
δεήσει, καθάπερ ἀποδράντα ὑπὸ τοῦ Διός· σὲ δὲ καὶ αὐτὸν κω-
λύσει ἐνεργεῖν τὰ τοῦ θανάτου ἔργα, καὶ τὴν Πλούτωνος ἀρχὴν
ζημιοῦν, μὴ νεκραγωγοῦντα πολλοῦ τοῦ χρόνου· κᾆτα ὁ τελώνης
Αἰακὸς ἀγανακτήσει, μηδ' ὀβολὸν ἐμπολῶν. Ὡς δὲ τὰ κεφά-
λαια τῶν γιγνομένων ἴδοις, τοῦτ' ἤδη σκεπτέον. — Χάρ. Αὐτός, 3
ὦ Ἑρμῆ, ἐπινόει τὸ βέλτιστον· ἐγὼ δὲ οὐδὲν οἶδα τῶν ὑπὲρ γῆς,
ξένος ὤν. — Ἑρμ. Τὸ μὲν ὅλον, ὦ Χάρων, ὑψηλοῦ τινος ἡμῖν
δεῖ χωρίου, ὡς ἀπ' ἐκείνου πάντα κατίδοις· σοὶ δὴ εἰ μὲν ἐς τὸν
οὐρανὸν ἀνελθεῖν δυνατὸν ἦν, οὐκ ἂν ἐκάμνομεν· ἐκ περιω-
πῆς γὰρ ἂν ἀκριβῶς ἅπαντα καθεώρας. Ἐπεὶ δὲ οὐ θέμις, εἰ- 4
δώλοις ἀεὶ ξυνόντα ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διός, ὥρα
ἡμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν.

γ. Χάρ. Οἶσθα, ὦ Ἑρμῆ, ἅπερ εἴωθα λέγειν ἐγὼ πρὸς
ὑμᾶς, ἐπειδὰν πλέωμεν; ὁπόταν γὰρ τὸ πνεῦμα καταιγίσαν
πλαγίᾳ τῇ ὀθόνῃ ἐμπέσῃ, καὶ τὸ κῦμα ὑψηλὸν ἀρθῇ, τότε ὑ-
μεῖς μὲν ὑπ' ἀγνοίας κελεύετε τὴν ὀθόνην στεῖλαι, ἢ ἐνδοῦναι
ὀλίγον τοῦ ποδός, ἢ συνεκδραμεῖν τῷ πνεύματι· ἐγὼ δὲ τὴν

---

γὰρ καὶ Μαίας, ὡς εἴρηται. — Ἑρμίδ.) Ὑποκοριστικῶς.

— Κυλλήν.) Οὕτως ὀνομάζεται ὁ Ἑρμῆς ὡς ἐπὶ Κυλλήνης ὄρους Ἀρκαδίας γεννηθείς. — Τὴν χάρ.) Καταμέτρησόν μοι τὴν χάριν ταύτην, ἣν ἐς ἀεὶ εἴσομαι.

β. Οὐκ ἀκόνδ.) Ὁρῶ ὅτι διὰ ταύτην τὴν περιήγησιν καὶ πληγὰς λήψομαι, κρόνθῳ δαρείς.

2 Κηρύττεσθ.) Ἤτοι ἀποκηρύττεσθαι· ἢ γοῦν κηρύξαι δεήσει, εἴτις τι μηνύσαι περὶ ἐμοῦ ἔχοι· ὥσπερ κηρύττουσιν εἴτις ἀποδρῴη. — Πολλοῦ τοῦ χρ.) Διὰ πολλοῦ τοῦ χρ.

3. Σὺ δή) Ἀνανταπόδοτος ἡ ὀνομαστική. Ἀλλ' ἐν ἔθει ἐστὶ τὸ τοιοῦτον, ἐκ τῆς ῥύμης τοῦ λόγου γινόμενον· ὅθεν καὶ Ἰσοκρ. ἐν τῷ Πανηθ. »Αἱ μὲν οὖν »αἰτίαι . . . διὰ μακροτέρων μὲν αὐ»τὰς διῆλθον, αὗται δ' οὖν ἦσαν· τοιοῦ»το δὲ δοκεῖ καὶ τὸ τοῦ Ἡσιοδ. Α΄. ά. »Ὁ δὲ αἰγιαλὸς, μεστὰ πάντα σωμά»των νεοσφαγῶν. — Ὥρα ἡμ.) Καιρὸς ἤδη ἡμῖν ἐστίν.

γ. Οἶσθα) Οἶδα, οἶδας, οἶδασθα, καὶ κατὰ συγκοπὴν οἶσθα. — Καταιγ.) Ἀπὸ τοῦ Καταιγὶς ὁ ἐξαίφνης ἐγειρόμενος ἄνεμος. — Τοῦ ποδ.) Τὸ ἄκρον τοῦ ἱστίου λέγει. Ποὺς γὰρ λέγεται τὸ σχοινίον ἀφ' οὗ δεδεμένον ἐστὶ τοῦ ἱστίου τὸ ἄκρον. — Συνεκδραμεῖν) Ἵνα δηλ. ἀφήσωμεν τὴν ναῦν ἰέναι κατὰ τὴν θέλησιν τοῦ ἀνέμου. — Ἄγειν) Περίφρασις ἀντὶ Ἡσυχάζειν. — Αὐτὸς γάρ) Ἐννοεῖται

ἡσυχίαν ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὰ βελ-
2 τίω. Κατὰ ταῦτα δὴ καὶ σὺ πράττε, ὁπόσα καλῶς ἔχειν νο-
μίζεις, κυβερνήτης νῦν γε ὤν. Ἐγὼ δὲ, ὥσπερ ἐπιβάταις νόμος,
σιωπῇ καθεδοῦμαι, πάντα πειθόμενος κελεύοντί σοι. — Ἑρμ.
Ὀρθῶς λέγεις, αὐτὸς γὰρ εἴσομαι τί ποιητέον, κἀξευρήσω τὴν
3 ἱκανὴν σκοπήν. Ἆρ' οὖν ὁ Καύκασος ἐπιτήδειος, ἢ ὁ Παρνασ-
σὸς ὑψηλότερος, ἢ ἀμφοῖν ὁ Ὄλυμπος ἐκεινοσί; καί τοι οὐ φαῦ-
λόν τι ἀνεμνήσθην ἐς τὸν Ὄλυμπον ἀπιδών· συγκαμεῖν δέ τι
καὶ ὑπουργῆσαι καὶ σὲ δεῖ. — Χάρ. Πρόσταττε· ὑπουργήσω
4 γὰρ, ὅσα δυνατά. — Ἑρμ. Ὅμηρος ὁ ποιητής φησι τοὺς Ἀ-
λωέως υἱέας, δύο καὶ αὐτοὺς ὄντας ἔτι παῖδας, ἐθελῆσαί ποτε
τὴν Ὄσσαν ἐκ βάθρων ἀνασπάσαντας, ἐπιθεῖναι τῷ Ὀλύμπῳ,
εἶτα τὸ Πήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην κλίμακα ἕξειν οἰο-
5 μένους καὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. Ἐκείνω μὲν οὖν τὼ μει-
ρακίω, ἀτασθάλω γὰρ ἤστην, δίκας ἐτισάτην. Νὼ δὲ, (οὐ γὰρ
ἐπὶ κακῷ τῶν θεῶν ταῦτα βουλεύομεν,) τί οὐχὶ οἰκοδομοῦ-
μεν καὶ αὐτοὶ κατὰ τὰ αὐτὰ ἐπικυλινδοῦντες ἐπάλληλα τὰ
ὄρη, ὡς ἔχοιμεν ἀφ' ὑψηλοτέρου ἀκριβεστέραν τὴν σκοπήν.

δ'. Χάρ. Καὶ δυνησόμεθα, ὦ Ἑρμῆ, δύ' ὄντες ἀναθέσθαι
ἀράμενοι τὸ Πήλιον, ἢ τὴν Ὄσσαν; — Ἑρμ. Διὰ τί δ' οὐκ ἂν,
ὦ Χάρων; ἢ ἀξιοῖς ἡμᾶς ἀγεννεστέρους εἶναι τοῖν βρεφυλλίοιν
2 ἐκείνοιν, καὶ ταῦτα, θεοὺς ὑπάρχοντας; — Χάρ. Οὐκ· ἀλλὰ
τὸ πρᾶγμα δοκεῖ μοι ἀπίθανόν τινα τὴν μεγαλουργίαν ἔχειν.
— Ἑρμ. Εἰκότως· ἰδιώτης γὰρ εἶ, ὦ Χάρων, καὶ ἥκιστα ποιη-
τικός. Ὁ δὲ γεννάδας Ὅμηρος ἀπὸ δυοῖν στιχοῖν αὐτίκα ἡ-
μῖν ἀμβατὸν ἐποίησε τὸν οὐρανὸν, οὕτω ῥᾳδίως συντιθεὶς τὰ
3 ὄρη. Καὶ θαυμάζω, εἴ σοι ταῦτα τεράστια εἶναι δοκεῖ, τὸν
Ἄτλαντα δηλαδὴ εἰδότι, ὃς τὸν πόλον αὐτὸν, εἷς ὤν, φέρει,
ἀνέχων ἡμᾶς ἅπαντας. Ἀκούεις δέ γε ἴσως καὶ τοῦ ἐμοῦ ἀ-
δελφοῦ πέρι, τοῦ Ἡρακλέους, ὡς διαδέξαιτό ποτε αὐτὸν ἐκεῖ-

---

Λέγων· ἀεὶ γὰρ τοῦτο ἐννοεῖται, ἑπομένου ἀπαρεμφάτου μετὰ τὸν Γάρ.

2. Νόμος) Ἐννοεῖται ἐστίν. — Κἀξευρ.) Καὶ ἐξευρήσω.

3. Ἆρ οὖν) Καθ' ἑαυτὸν συλλογιζόμενον τὸν Ἑρμῆν ἐννοητέον, καὶ λέγοντα ταῦτα. — Ἐκεινοσί) Δεικνύων γὰρ τὸν Ὄλυμπον λέγει· ὅθεν καὶ εἰς ἐπίτασιν δείξεως προσετέθη κατ' ἐπέκτασιν τὸ ι. — Ὅσα δυνατ.) Κατ' ἐκεῖνα, ὅσα εἰσὶ δυνατά.

4. Τοὺς Ἀλ. υἱέας) Δύο δὲ ἦσαν οἱ Ἀλωέως παῖδες, Ὦτος καὶ Ἐφιάλτης· οἱ ἐκ Ποσειδῶνος καὶ Ἰφιμεδείας γυναικὸς Ἀλωέως ἐγεννήθησαν, καὶ ἐτράφησαν ὑπὸ Ἀλωέως ὡς ἴδια αὐτοῦ τέκνα· οὗτοι οὖν ὄρη ἐπὶ ὀρῶν θέντες, εἰς οὐρανὸν ἀνελθεῖν ἐφαντάσθησαν.

5. Δίκας ἐτισάτ.) Δίκας τίνειν, τὸ ἀξίως τοῦ ἐγκλήματος κολάζεσθαι δηλοῖ.

δ'. Διὰ τί δ' οὐκ ἂν) Δυνηθείημεν δηλ. — Καὶ ταῦτα) Λέγεις, ἀξιῶν ἀγεννεστέρους εἶναι, θεοὺς ὑπάρχοντας.

3. Τοῦ Ἡρακλ.) Ἡρακλῆς ἀδελφὸς Ἑρμοῦ· ἑκάτεροι γὰρ ἐκ Διός. Οὗτος πρὸς τοῖς ἄλλοις ἄθλοις πολλοῖς καὶ μεγάλοις οὖσι, καὶ τοῦτον ἐποίησεν, ἀνα-

νον τὸν Ἄτλαντα, καὶ ἀναπαύσειε πρὸς ὀλίγον τοῦ ἄχθους,
ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ; — Χάρ. Ἀκούω καὶ ταῦτα· εἰ δὲ ἀ-
ληθῆ ἐστι, σὺ ἄν, ὦ Ἑρμῆ, καὶ οἱ ποιηταὶ εἰδείητε. — Ἑρμ. 4
Ἀληθέστατα, ὦ Χάρων· ἢ τίνος γὰρ ἕνεκα σοφοὶ ἄνδρες ἐψεύ-
δοντο ἄν; ὥστε ἀναμοχλεύωμεν τὴν Ὄσσαν πρῶτον, ὥσπερ
ἡμῖν ὑφηγεῖται τὸ ἔπος, καὶ ὁ ἀρχιτέκτων Ὅμηρος, Αὐτὰρ
ἐπ' Ὄσσῃ Πήλιον εἰνοσίφυλλον· ὁρᾷς, ὅπως ῥᾳδίως ἅμα καὶ
ποιητικῶς ἐξειργασάμεθα; Φέρε οὖν ἀναβὰς ἴδω, εἰ καὶ ταῦτα
ἱκανά, ἢ ἐποικοδομεῖν ἔτι δεήσει.

έ. Παπαί! κάτω ἔτι ἐσμὲν ἐν τῇ ὑπωρείᾳ τοῦ οὐρανοῦ· ἀπὸ
μὲν γὰρ τῶν ἑῴων μόγις Ἰωνία, καὶ Λυδία φαίνεται· ἀπὸ δὲ
τῆς ἑσπέρας οὐ πλέον Ἰταλίας καὶ Σικελίας· ἀπὸ δὲ τῶν ἀρ-
κτῴων τὰ ἐπὶ τάδε τοῦ Ἴστρου μόνα· κἀκεῖθεν, ἡ Κρήτη οὐ
πάνυ σαφῶς· μετακινητέα ἡμῖν, ὦ Πορθμεῦ, καὶ ἡ Οἴτη, ὡς
ἔοικεν· εἶτα ὁ Παρνασσὸς ἐπὶ πᾶσι. — Χάρ. Οὕτω ποιῶμεν. 2
Ὅρα μόνον, μὴ λεπτότερον ἐξεργασώμεθα τὸ ἔργον, ἀπομη-
κύνοντες πέρα τοῦ πιθανοῦ· εἶτα συγκαταῤῥιφθέντες αὐτῷ πι-
κρᾶς τῆς Ὁμήρου οἰκοδομητικῆς πειραθῶμεν, ξυντριβέντες τῶν
κρανίων. — Ἑρμ. Θάῤῥει· ἀσφαλῶς γὰρ ἕξει ἅπαντα· μετα-
τίθει τὴν Οἴτην· ἐπικυλινδείσθω καὶ ὁ Παρνασσός. Ἰδού, ἐπά- 3
νειμι αὖθις· εὖ ἔχει· πάντα ὁρῶ· ἀνάβαινε ἤδη καὶ σύ. — Χάρ.
Ὄρεξον, ὦ Ἑρμῆ, τὴν χεῖρα· οὐ γὰρ ἐπὶ μικράν με ταύτην
τὴν μηχανὴν ἀναβιβάζεις. — Ἑρμ. Εἴγε καὶ ἰδεῖν ἐθέλεις, ὦ 4
Χάρων, ἅπαντα . . . . οὐκ ἔνι δὲ ἄμφω, καὶ ἀσφαλῆ, καὶ φιλοθεά-
μονα εἶναι· ἀλλ' ἔχου μου τῆς δεξιᾶς, καὶ φείδου μὴ κατὰ τοῦ
ὀλισθηροῦ πατεῖν· εὖγε, ἀνελήλυθας καὶ σύ· καὶ ἐπείπερ δικό- 5
ρυμβος ὁ Παρνασσός ἐστι, μίαν ἑκάτερος ἄκραν ἐπιλαβόμενοι
καθεζώμεθα. Σὺ δέ μοι ἤδη ἐν κύκλῳ περιβλέπων, ἐπισκόπει
ἅπαντα.

ς΄. Χάρ. Ὁρῶ γῆν πολλήν, καὶ λίμνην τινὰ μεγάλην περιῤ-
ῥέουσαν, καὶ ὄρη, καὶ ποταμοὺς τοῦ Κωκυτοῦ καὶ Πυριφλε-

---

κουφίσας τὸν Ἄτλαντα, ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ, καὶ βαστάσας καὶ αὐτὸν τὸν οὐρανὸν ἐπὶ τῶν ὤμων.

4. Σὺ ἂν) Ὡς λόγιος δηλ. καὶ πατὴρ τῶν λόγων. — Τίνος γὰρ) Ὁ Γὰρ παρέλκει. — Αὐτὰρ ἐπὶ) Ὅμηρ. Ὀδύσ. Δ. 315.

έ. 2. Ξυντριβ.) Ἡ Ξὺν Ἀττικῶς ἀντὶ Σύν. Γενικῇ δὲ συντέτακται Ἀττικῶς, ἐννοουμένης τῆς Μέρος αἰτιατικῆς.

4. Οὐκ ἔνι δὲ) Ὁ Δὲ ἀντὶ τοῦ Γάρ· ὁ δὲ νοῦς. Εἴγε καὶ ἰδεῖν ἐθέλεις ἅπαντα, κινδυνεύειν χρή· οὐ γὰρ ἔνεστιν ἄμφω γενέσθαι καὶ ἀσφαλῆ εἶναι δηλ. καὶ φιλοθεάμονα. — Ἔχου) Ἔστι δὲ ἴσον τῷ παρ' ἡμῖν Πιάσθητι ἀπὸ τῆς δεξιᾶς μου χειρός.

ς΄. Λίμν . . . περιῤῥ.) Τὸν Ὠκεανὸν λέγει· πᾶσα γὰρ ἡ γῆ περιῤῥεῖται ὑπ' αὐτοῦ. — Οὓς φωλ.) Ἡ σύνταξις Ἀττική. Ἔδει γὰρ τὸ ἀναφορικὸν πρὸς τὸ ἡγούμενον, πρὸς ὃ καὶ ἀναφέρεται, συμφωνεῖν κατὰ γένος, οὐ πρὸς τὸ ἑπόμε-

γέθοντος μείζονας· καὶ ἀνθρώπους πάνυ σμικροὺς, καί τινας φω-
λεοὺς αὐτῶν. — Ἑρμ. Πόλεις ἐκεῖναί εἰσιν, οὓς φωλεοὺς εἶναι
2 νομίζεις. — Χάρ. Οἶσθα οὖν, ὦ Ἑρμῆ· ὡς οὐδὲν ἡμῖν πέ-
πρακται; ἀλλὰ μάτην τὸν Παρνασσὸν αὐτῇ Κασταλίᾳ, καὶ
τὴν Οἴτην, καὶ τὰ ἄλλα ὄρη μετεκινήσαμεν. — Ἑρμ. Ὅτι τί; —
3 Χάρ. Οὐδὲν ἀκριβὲς ἔγωγε ἀπὸ τοῦ ὑψηλοῦ ὁρῶ· ἐβουλόμην δὲ
οὐ πόλεις καὶ ὄρη αὐτὰ μόνον, ὥσπερ ἐν γραφαῖς, ὁρᾷν, ἀλ-
λὰ τοὺς ἀνθρώπους αὐτοὺς, καὶ ἃ πράττουσι, καὶ οἷα λέγου-
σιν· ὥσπερ ὅτε με τὸ πρῶτον ἐντυχὼν εἶδες γελῶντα, καὶ εἴ-
ρου με, ὅ,τι γελῴην· ἀκούσας γάρ τινος ἥσθην ἐς ὑπερβολήν.
4 — Ἑρμ. Τί δὲ τοῦτ' ἦν; — Χάρ. Ἐπὶ δεῖπνον, οἶμαι, κλη-
θεὶς ὑπό τινος τῶν φίλων ἐς τὴν ὑστεραίαν, μάλιστα ἥξω, ἔφη·
καὶ μεταξὺ λέγοντος, ἀπὸ τοῦ τέγους κεραμὶς ἐπιπεσοῦσα, οὐκ
οἶδ' ὅτου κινήσαντος, ἀπέκτεινεν αὐτόν. Ἐγέλασα οὖν, οὐκ ἐ-
5 πιτελέσαντος τὴν ὑπόσχεσιν. Ἔοικα δὲ καὶ νῦν ὑποκαταβήσεσθαι,
ὡς μᾶλλον βλέποιμι, καὶ ἀκούοιμι.

ζ. Ἑρμ. Ἔχ' ἀτρέμας· καὶ τοῦτο γὰρ ἐγώ ἰάσομαί σοι,
καὶ ὀξυδερκέστατον ἐν βραχεῖ ἀποφανῶ, παρ' Ὁμήρου τινὰ
καὶ πρὸς τοῦτο ἐπῳδὴν λαβών· κἀπειδὰν εἴπω τὰ ἔπη, μέ-
2 μνησο μηκέτι ἀμβλυώττειν, ἀλλὰ σαφῶς πάντα ὁρᾷν. — Χάρ.
Λέγε μόνον. — Ἑρμ.

Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
Ὄφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.

3 Χάρ. Τί ἐστιν; — Ἑρμ. Ἤδη ὁρᾷς; — Χάρ. Ὑπερφυῶς γε·
τυφλὸς ὁ Λυγκεὺς ἐκεῖνος, ὡς πρὸς ἐμέ· ὥστε σὺ τὸ ἐπὶ τούτῳ προ-
4 δίδασκέ με, καὶ ἀποκρίνου ἐρωτῶντι. Ἀλλὰ βούλει κατὰ τὸν
Ὅμηρον κἀγὼ ἔρωμαί σε, ὡς μάθῃς οὐδ' αὐτὸν ἀμελέτητον ὄντα
με τῶν Ὁμήρου; — Ἑρμ. Καὶ πόθεν σὺ ἔχεις τι τῶν ἐκείνου
5 εἰδέναι, ναύτης ἀεὶ καὶ πρόσκωπος ὤν; — Χάρ. Ὁρᾷς, ὀνειδι-
στικὸν τοῦτο ἐς τὴν τέχνην. Ἐγὼ δὲ, ὁπότε διεπόρθμευον αὐτὸν·

---

νον· οἱ δὲ Ἀττικοὶ καινοτομοῦντες πρὸς τὸ ἑπόμενον ἀποδιδόασι τὸ γένος.

3. Ἐν γραφ.) Ἐν Χάρταις δηλ. καὶ πίναξι γεγραμμένα. — Ὅ,τι γελ.) Καθ' ὅ,τι· ἢ Δι' ὅ,τι γελῴην· καὶ τὸ μὲν εὐκτικὸν, ὅτι ἀπὸ παρῳχημένου ὁ λόγος· τὸ δὲ ῥῆμα, Γελάω, λῶ.

4. Κληθεὶς) Ἐνταῦθα δὲ ἐννοεῖται Τίς.

ζ. Ἔχ' ἀτρέμας) Ἀντί. Ἡσύχως ἔχε. Ἡσύχαζε.

2. Ἀχλ.) Ὅμηρ. Ἰλ. Ε. 127. — Ἠμὲν . . . ἠδὲ) Ποιητικοὶ οἱ σύνδεσμοι ἀντὶ Μὲν, Δὲ, Οἷον. Ὄφρα εὖ γιγνώσκῃς καὶ θεὸν καὶ ἄνδρα.

3. Ὁ Λυγκεὺς) Εἷς τῶν Ἀργοναυτῶν, ὀξυδερκέστατος, μακρόθεν πολὺ τὰ πάντα ὁρῶν. — Ὡς πρὸς ἐμὲ) Ὡς ἔστιν ἐξετάσαι, πρὸς ἐμὲ παραβαλλόμενος. Καὶ ἔστι τὸ Ὡς οὐ παρέλκον· ἀλλὰ τὸ δυναστὸν τῆς παραβολῆς σημαῖνον. — Τὸ ἐπὶ τούτῳ) Κατὰ τὸ ὂν ἐπὶ τούτῳ· ὅπερ ἐστὶν εἰς τὸ ἑξῆς.

4. Βούλει . . . ἔρωμ.) Κατ' ἔλλειψιν τοῦ Ἵνα· οἷον· βούλει ἵνα κἀγὼ ἔρωμαί σε καθ' Ὅμηρον.

5. Τοῦτο) Τὸ εἰδέναι· ἢ γοῦν ὃ λέγεις· καὶ γὰρ, ἢ ὃ λέγεις ὄνειδός ἐστι πρὸς τὴν τέχνην· ἢ γοῦν· τὸ εἰδέναι τι ὀνειδιστικόν

ἀποθανόντα, πολλὰ ῥαψῳδοῦντος ἀκούσας, ἐνίων ἔτι μέμνημαι.
Καίτοι χειμὼν ἡμᾶς οὐ μικρὸς τότε κατέλαβεν. Ἐπεὶ γὰρ ἤρ- 6
ξατο ᾄδειν οὐ πάνυ αἴσιόν τινα ᾠδὴν τοῖς πλέουσιν, ὡς ὁ Ποσει-
δῶν συνήγαγε τὰς νεφέλας, καὶ ἐτάραξε τὸν πόντον, ὥσπερ το-
ρύνην τινὰ ἐμβαλὼν τὴν τρίαιναν, καὶ πάσας τὰς θυέλλας ὠρό-
θυνε, καὶ ἄλλα πολλὰ, κυκῶν τὴν θάλατταν ὑπὸ τῶν ἐπῶν,
χειμὼν ἄφνω καὶ γνόφος ἐμπεσὼν ὀλίγου δεῖν περιέτρεψεν ἡμῖν
τὴν ναῦν· ὅτεπερ καὶ ναυτιάσας ἐκεῖνος, ἀπήμεσε τῶν ῥαψῳ-
διῶν τὰς πολλὰς αὐτῇ Σκύλλῃ, καὶ Χαρύβδει, καὶ Κύκλωπι.
— Ἑρμ. Οὐ χαλεπὸν οὖν ἦν ἐκ τοσούτου ἐμετοῦ ὀλίγα γοῦν δια- 7
φυλάττειν.

ή. Χάρ. Εἰπὲ γάρ μοι.

Τίς γὰρ ὅδ' ἐστὶ πάχιστος ἀνὴρ, ἠΰς τε, μέγας τε,
Ἔξοχος ἀνθρώπων κεφαλὴν καὶ εὐρέας ὤμους.

Ἑρμ. Μίλων οὗτος ὁ ἐκ Κρότωνος ἀθλητής. Ἐπικροτοῦσι δ' αὐτῷ οἱ Ἕλληνες, ὅτι τὸν ταῦρον ἀράμενος φέρει διὰ τοῦ σταδίου μέσου. — Χάρ. Καὶ πόσῳ δικαιότερον ἂν ἐμὲ, ὦ Ἑρμῆ, ἐπαινοῖεν, ὃς αὐτόν σοι τὸν Μίλωνα μετ' ὀλίγον ξυλλαβὼν ἐνθήσομαι εἰς τὸ σκαφίδιον, ὁπόταν ἥκῃ πρὸς ἡμᾶς ὑπὸ τοῦ ἀμαχωτάτου τῶν ἀνταγωνιστῶν καταπαλαισθεὶς τοῦ Θανάτου, μηδὲ ξυνεὶς, ὅπως αὐτὸν ὑποσκελίζει; κᾆτα οἰμώξεται ἡμῖν δηλαδὴ, μεμνημένος τῶν στεφάνων τούτων, καὶ τοῦ κρότου· νῦν δὲ μέγα

---

ἐστι διὰ τὴν ναυτικήν μου τέχνην. Ἐμπαίζει δὲ διὰ τούτων τοῖς ὀνειδίζουσι τοὺς τέχνην τινὰ ἐπισταμένους τῶν βαναύσων, καὶ καταγελῶσι καὶ εἴτι καὶ λόγου μετέχοιεν.

6. Ὀλίγου δεῖν) Τὸ παρ' ἡμῖν Ὀλίγον ἔλειψε. Τὸ δὲ Δεῖν ἀντὶ τοῦ Δέον κατὰ συναίρεσιν. Ὅθεν καὶ ἀπολύτως λαμβάνεται κατὰ τὰς τῶν ἀπροσώπων μετοχάς. — Ἐκεῖν.) Ὁ Ὅμηρος. — Αὐτῇ Σκ. καὶ Χαρ. καὶ Κύκλ.) Ἐν ταῖς δοτικαῖς ταύταις ἐλλείπει ἡ Σύν. Σκύλλα μὲν οὖν ἐξ κεφαλὰς εἶχε, τὰ δὲ ἄλλα ἀνθρώπου, περὶ τὸ Ῥήγιον τῆς Σικελίας· ἔστι δὲ ἀκρωτήριον ἐξέχον εἰς θάλασσαν, οὗ κάτωθεν πέτραι πολλαὶ καὶ μεγάλαι ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς καταμένουσι θηρία θαλάσσης· ἧς πλησίον ἡ Χάρυβδις περὶ Μεσσήνην· τῶν δὲ πλοίων ἐν ταῖς πέτραις ἀκοντιζομένων, ἐκ τοῦ τῆς Χαρύβδεως ὕδατος, καὶ συγκλωμένων, τοὺς ἄνδρας ἐσθίουσι· Φόρκυς δὲ πατὴρ Σκύλλης εἴτ' οὖν ἡ θάλασσα· περὶ ὧν Ὅμηρ. Κύκλωψ δὲ, Ποσειδῶνος υἱὸς Πολύφημος· ἐν Σικελίᾳ δὲ ᾤκουν οἱ Κύκλωπες ἕνα ὀφθαλμὸν κατὰ τὸ μέτωπον ἔχοντες· τὸν δὲ Πολύφημον ἐλθὼν Ὀδυσσεὺς εἰς Σικελίαν, καὶ ἐγκλεισθεὶς ὑπ' αὐτοῦ εἰς τὸ σπήλαιον, ἐξετύφλωσε· περὶ οὗ Ὅμηρ. Ὀδ. Ι.

7. Ἐμετοῦ) Σημείωσαι ὅτι οὐ πρῶτος Λουκιανὸς τῆς ἰδέας ταύτης τοῦ καθ' Ὅμηρον ἐμετοῦ ἐγένετο. Καὶ γὰρ καὶ Γαλάτων ὁ Ζωγράφος, ὥς φησιν Αἰλιαν. Ποικίλ. Ἱστορ. ΙΓ'. κβ'. ἔγραψεν Ὅμηρον ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεσμένα ἀρυομένους.

ή. Τίς γὰρ ὅδ') Ὅμηρ. Ἰλ. Γ. 226. Τὸ δὲ Ὅδε ἀντὶ τοῦ Οὗτος· τὸ θέατρον μετὰ τοῦ Δὲ ἀντὶ δεικτικῆς ἀντωνυμίας. — Πάχιστ.) Παρὰ τοῦ Παχύς. — Εὐρέας ὤμ.) Αἱ αἰτιατικαὶ κατὰ συνεκδοχὴν τῆς Κατά. — Διὰ τοῦ σταδ. μέσ.) Τὸ ἐπίθετον ἀνάρθρως, ὡς μὴ πρὸς τὸ στάδιον ἀναφερόμενον· ἔστι γὰρ ἀντὶ διὰ μέσου γυμνασίου τοῦ σταδίου· ὁ γὰρ Μίλων ὁ ἀθλητὴς, ὁ Κροτωνιάτης, φασὶ, εἴκοσι μνᾶς κρεῶν ἤσθιε, καὶ τοσαύτας ἄρτων, οἴνου δὲ τρεῖς χόας ἔπινεν· Ἐν δ' Ὀλυμπίᾳ

ΙΩΑΝΝΙΝΑ 2006

3 φρονεῖ, θαυμαζόμενος ἐπὶ τῇ τοῦ ταύρου φορᾷ. Τί οὖν; οἰηθῶμεν
ἄρα ἐλπίζειν αὐτὸν καὶ τεθνήξεσθαί ποτε; — Ἑρμ. Πόθεν ἐκεῖνος
θανάτου νῦν μνημονεύσειεν ἂν ἐν ἀκμῇ τοσαύτῃ; — Χάρ. Ἔα
τοῦτον οὐκ εἰς μακρὰν γέλωτα ἡμῖν παρέξοντα, ὁπότ' ἂν πλέῃ μηδὲ
ἐμπίδα, οὐχ ὅπως ταῦρον, ἔτι ἄρασθαι δυνάμενος.

θ΄. Σὺ δέ μοι ἐκεῖνο εἰπέ, τίς τ' ἄρ' ὅδ' ἄλλος ὁ σεμνὸς
ἀνήρ; οὐχ Ἕλλην, ὡς ἔοικεν ἀπὸ γοῦν τῆς στολῆς. — Ἑρμ.
Κῦρος, ὦ Χάρων, ὁ Καμβύσου, ὅς, τὴν ἀρχὴν πάλαι Μήδων
ἐχόντων, νῦν Περσῶν ἤδη ἐποίησεν εἶναι. Καὶ Ἀσσυρίων ἔναγχος
οὗτος ἐκράτησε, καὶ Βαβυλῶνα παρεστήσατο· καὶ νῦν ἐλασεί-
οντι ἐπὶ Λυδίαν ἔοικεν, ὡς καθελὼν τὸν Κροῖσον ἄρχοι ἁπάν-
των. — Χάρ. Ὁ Κροῖσος δὲ ποῦ ποτε κἀκεῖνός ἐστιν; — Ἑρμ.
2 Ἐκεῖσε ἀπόβλεψον ἐς τὴν μεγάλην ἀκρόπολιν, τὴν τὸ τριπλοῦν
τεῖχος· Σάρδεις ἐκεῖναι, καὶ τὸν Κροῖσον αὐτὸν ὁρᾷς ἤδη ἐπὶ
κλίνης χρυσῆς καθήμενον, Σόλωνι τῷ Ἀθηναίῳ διαλεγόμενον;
3 Βούλει ἀκούσωμεν αὐτῶν, ὅ,τι καὶ λέγουσι; — Χάρ. Πάνυ μὲν οὖν.

ι. » Κροῖσ. Ὦ ξένε Ἀθηναῖε, εἶδες γάρ μου τὸν πλοῦτον, καὶ τοὺς
θησαυροὺς, καὶ ὅσος ἄσημος χρυσός ἐστιν ἡμῖν, καὶ τὴν ἄλλην
πολυτέλειαν, εἰπέ μοι, τίνα ἡγῇ τῶν ἁπάντων ἀνθρώπων εὐδαι-
μονέστατον εἶναι«. — Χάρ. Τί ἄρα ὁ Σόλων ἐρεῖ; — Ἑρμ. Θάρ-
2 ρει· οὐδὲν ἀγεννές, ὦ Χάρων. — » Σόλ. Ὦ Κροῖσε, ὀλίγοι μὲν
οἱ εὐδαίμονες· ἐγὼ δέ, ὧν οἶδα, Κλέοβιν καὶ Βίτωνα ἡγοῦμαι
εὐδαιμονεστάτους γενέσθαι, τοὺς τῆς ἱερείας παῖδας, τῆς Ἀρ-
γόθεν«. — Χάρ. Φησὶν οὗτος τοὺς ἅμα πρῴην ἀποθανόντας, ἐπεὶ τὴν
μητέρα ὑποδύντες, εἵλκυσαν ἐπὶ τῆς ἀπήνης ἄχρι πρὸς τὸ ἱερόν.

---

ταῦρον ἀναθέμενος τοῖς ὤμοις τετραετῆ, καὶ τοῦτον περιενέγκας τὸ στάδιον, μετὰ ταῦτα διαιτρεύσας, μόνος αὐτὸν κατέφαγεν ἐν μιᾷ ἡμέρᾳ.

3. Οὐχ ὅπως ταῦρον) Τὸ οὐχ ὅπως εἰς τὸ Πόσῳ μᾶλλον ἡ κοινὴ ἐκφράζει διάλεκτος.

θ΄. Ἐλασείοντι) Ἐλασείω τὸ ἔχω σκοπὸν ἐλαύνειν. Ὁ γὰρ Κῦρος εἰς Λυδίαν ἐλάσας, καὶ τὸν Κροῖσον καθελών, πᾶσαν ῥᾳδίως τὴν Ἀσίαν ὑφ' ἑαυτὸν ἐποιήσατο.

2. Τὸ τριπλοῦν τεῖχος) Ἐννοεῖται Περιβεβλημένην, ἢ ἔχουσαν. — Σάρδεις ἐκ.) Ἐννοεῖται Εἰσίν· ἤτοι Ἐκείνη ἡ πόλις, ἣν ὁρᾷς, εἰσὶν αἱ Σάρδεις.

3. Πάνυ μὲν) Κροῖσος δείξας πάντα τὸν πλοῦτον καὶ τοὺς θησαυροὺς Σόλωνι τῷ Ἀθηναίων νομοθέτῃ, κατὰ περιήγησιν εἰς Σάρδεις ἐλθόντι, δόξας ἐπαινεθῆναι ὑπ' αὐτοῦ, ἐπεὶ οὐκ ἔτυχεν αὐτὸς αὐτὸν εἴρετο. Ὅρα δὲ τὴν διάλεξιν ταύτην παρ' Ἡροδότῳ ἐν Κλειοῖ, κεφ. λ΄.

ι. Ἄσημος χρυσὸς) Ὁ μὴ ἔχων τὶ σημεῖον· ὁ μὴ μεταβληθεὶς εἰς χρήματα σημεῖον ἔχοντα κεχαραγμένον. — Ἐρεῖ) Εἴρηκα.

2. Τῆς Ἀργόθεν) Τῆς ἐκ τοῦ Ἄργους δηλ. Κλέοβις γὰρ καὶ Βίτων, τῆς μητρὸς ἱερείας οὔσης τῆς Ἥρας, ἐπειδὴ τῆς εἰς τὸν ναὸν ἀναβάσεως ἧκεν ὁ καιρὸς, τῶν ἑλκόντων τὴν ἀπήνην ἡμιόνων ὑστερησάντων, καὶ τῆς ὥρας ἐπειγούσης, ὑποδύντες ὑπὸ τὴν ἀπήνην, ἤγαγον εἰς τὸ ἱερὸν τὴν μητέρα· ἥτις ὑπερησθεῖσα ηὔξατο τὸ κράτιστον αὐτοῖς παρὰ θεοῦ γενέσθαι· οἱ δὲ κοιμηθέντες, μηκέτι ἀνέστησαν. Ἡρόδοτ. Κλειοῖ. κεφ. λ΄. — Ἄχρι πρὸς τ.) Σύνηθες δὲ τὸ Ἐπίρρημα τοῦτο καὶ πρὸς προθετόπτωτον φέρε-

ΙΩΑΝΝΙΝΑ 2006

— »Κροῖσ. Ἔστω· ἐχέτωσαν τὰ πρῶτα ἐκεῖνοι τῆς εὐδαιμονίας· 3
ὁ δεύτερος δὲ, τίς ἂν εἴη;« — »Σόλ. Τέλλος ὁ Ἀθηναῖος, ὃς εὖ τε
ἐβίω, καὶ ἀπέθανεν ὑπὲρ τῆς πατρίδος.» — «Κροῖσ. Ἐγὼ δὲ, ὦ
κάθαρμα, οὔ σοι δοκῶ εὐδαίμων εἶναι;« — »Σόλ. Οὐδέπω οἶδα, ὦ 4
Κροῖσε, ἢν μὴ πρὸς τὸ τέλος ἀφίκῃ τοῦ βίου· ὁ γὰρ θάνατος ἀκρι-
βὴς ἔλεγχος τῶν τοιούτων, καὶ τὸ ἄχρι πρὸς τὸ τέρμα εὐδαιμόνως
διαβιῶναι.« — Χάρ. Κάλλιστα, ὦ Σόλων, ὅτι ἡμῶν οὐκ ἐπιλέ-
λησαι, ἀλλὰ παρὰ τὸ πορθμεῖον αὐτὸ ἀξιοῖς γενέσθαι τὴν περὶ
τῶν τοιούτων κρίσιν.

ιά. Ἀλλὰ τίνας ἐκείνους ὁ Κροῖσος ἐκπέμπει, ἢ τί καὶ ἐπὶ
τῶν ὤμων φέρουσι; — Ἑρμ. Πλίνθους τῷ Πυθίῳ χρυσᾶς ἀνα-
τίθησι, μισθὸν τῶν χρησμῶν, ὑφ᾽ ὧν καὶ ἀπολεῖται μικρὸν ὕ-
στερον· φιλόμαντις δὲ ὁ ἀνὴρ ἐκτόπως. — Χάρ. Ἐκεῖνο γάρ ἐσ- 2
τιν ὁ χρυσὸς τὸ λαμπρὸν, ὃ ἀποστίλβει, τὸ ὕπωχρον μετ᾽ ἐρυθή-
ματος; νῦν γὰρ πρῶτον εἶδον, ἀκούων ἀεί. — Ἑρμ. Ἐκεῖνο, ὦ
Χάρων, τὸ ἀοίδιμον ὄνομα, καὶ περιμάχητον. — Χάρ. Καὶ μὴν
οὐχ ὁρῶ, ὅ,τι ἀγαθὸν αὐτῷ πρόσεστιν, εἰμὴ ἄρα ἕν τι μόνον, ὅ-
τι βαρύνονται οἱ φέροντες αὐτό. — Ἑρμ. Οὐ γὰρ οἶσθα, ὅσοι 3
πόλεμοι διὰ τοῦτο, καὶ ἐπιβουλαὶ, καὶ λῃστήρια, καὶ ἐπιορκίαι,
καὶ φόνοι, καὶ δεσμὰ, καὶ πλοῦς μακρὸς, καὶ ἐμπορίαι, καὶ δου-
λεῖαι; — Χάρ. Διὰ τοῦτο, ὦ Ἑρμῆ, τὸ μὴ πολὺ τοῦ χαλκοῦ
διαφέρον; οἶδα γὰρ τὸν χαλκὸν, ὀβολὸν, ὡς οἶσθα, παρὰ τῶν
καταπλεόντων ἑκάστου ἐκλέγων. — Ἑρμ. Ναί· ἀλλ᾽ ὁ χαλκὸς 4
μὲν πολύς· ὥστε οὐ πάνυ σπουδάζεται ὑπ᾽ αὐτῶν· τοῦτον δὲ
ὀλίγον ἐκ πολλοῦ τοῦ βάθους οἱ μεταλλεύοντες ἀνορύττουσι· πλὴν
ἀλλ᾽ ἐκ τῆς γῆς καὶ οὗτος, ὥσπερ ὁ μόλιβδος, καὶ τἄλλα. —

---

σθαι· ὡς καὶ παρακατιών. Ἄχρι πρὸς τὸ τέρμα φησὶ καὶ ἐν Ἰκαρομένιπ. Ἄχρι πρὸς τὴν σελήνην.

3. Τέλλος ὁ Ἀθηναῖος) Τέλλῳ τῷ Ἀθηναίῳ παῖδες ἦσαν καλοὶ κἀγαθοὶ, ὧν τέκνα εἶδεν, εὐδαιμόνως ζήσας, καὶ ἐν τῇ πρὸς Ἐλευσῖνα μάχῃ κατὰ τῶν ἀστυγειτόνων ἀποθανὼν, ταφῆς ἐνδόξου καὶ τιμῆς ἠξιώθη. Ἡρόδοτ. Κλει. κεφ. λ΄.

ιά. Τῷ Πυθίῳ) Ἀπόλλωνι. Ἀπόλλων γὰρ τοξεύσας ἐφόνευσε Πύθωνα δράκοντα μέγαν, γεννηθέντα ἐπὶ γῆς μετὰ τὸν Δευκαλίωνος κατακλυσμὸν, τὴν μητέρα αὐτοῦ Λητὼ κατ᾽ ἐπιταγὴν Ἥρας διώκοντα· οὗ τὸ δέρας ἐπὶ τρίποδος ἐν Δελφοῖς, ἔνθα ἦν τὸ ἱερὸν Ἀπόλλωνος, Πυθίου διὰ τοῦτο κληθέντος, ἐτάξετο ἐπιτίθεσθαι, καὶ ἐπὶ τούτου τὴν ἱέρισσαν Πυθίαν καθημένην χρησμῳδεῖν. — Ἀπολεῖται) Ἔλαβε γὰρ ὁ Κροῖσος χρησμὸν, ὃς ἔλεγε.

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν
καταλύσει.

Ὁ δὲ Ἅλυς ποταμὸς ἦν διορίζων τὴν Κροίσου καὶ Μήδων ἀρχήν· ὁ δὲ Κροῖσος τούτῳ τῷ χρησμῷ πειθόμενος, καὶ στρατεύσας κατὰ Περσῶν, κατέλυσε τὴν ἑαυτοῦ ἀρχὴν μεγάλην οὖσαν, νικηθεὶς ὑπὸ Κύρου· οἰόμενος τὴν ἐκείνου καταλύσειν. Οὕτως οὖν ὑπὸ τῶν χρησμῶν ἀπώλετο. — Ἐκτόπως) Πάντα γὰρ τὰ μαντεῖα ἠρώτησε παντοίως, καὶ δῶρα παντοῖα προσήνεγκεν αὐτοῖς, ὡς Ἡρόδοτος ἱστόρηκεν.

3. Ὀβολὸν) Ἔθος γὰρ ἦν τῶν ἀποθανόντων ἐν τῷ στόματι ὀβολὸν τιθέναι, ἵνα δῆθεν διδῶσι πορθμεῖα τῷ Χάρωνι, διαπορθμεύοντι αὐτοὺς εἰς τὸν ᾅδην.

Εφ. Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Χάρ. Δεινήν τινα λέγεις τῶν ἀνθρώπων τὴν ἀβελτηρίαν, οἱ το-
5 σοῦτον ἔρωτα ἐρῶσιν ὠχροῦ καὶ βαρέως κτήματος. — Ἑρμ.
ἀλλ' οὐ Σόλων γε ἐκεῖνος, ὦ Χάρων, ἐρᾷν αὐτοῦ φαίνεται, ὡς
ὁρᾷς· καταγελᾷ γὰρ τοῦ Κροίσου, καὶ τῆς μεγαλαυχίας τοῦ
βαρβάρου· καί, μοι δοκεῖ, ἔρεσθαί τι βούλεται αὐτόν· ἐπακού-
σωμεν οὖν.

ιβ'. »Σόλ. Εἰπέ μοι, ὦ Κροῖσε, οἴει γάρ τι δεῖσθαι τῶν πλίν-
θων τούτων τὸν Πύθιον;« — »Κροῖσ. Νὴ Δί'· οὐ γάρ ἐστιν αὐτῷ
ἐν Δελφοῖς ἀνάθημα οὐδὲν τοιοῦτον.« — »Σόλ. Οὐκοῦν μακάριον
οἴει τὸν θεὸν ἀποφαίνειν, εἰ κτήσαιτο σὺν τοῖς ἄλλοις καὶ πλίν-
2 θους χρυσᾶς;« — »Κροῖσ. Πῶς γὰρ οὔ;« — »Σόλ. Πολλήν μοι λέ-
γεις, ὦ Κροῖσε, πενίαν ἐν τῷ οὐρανῷ, εἰ ἐκ Λυδίας μεταστέλ-
λεσθαι τὸ χρυσίον δεήσει αὐτούς, ἢν ἐπιθυμήσωσι.« — »Κροῖσ. Ποῦ
3 γὰρ τοσοῦτος ἂν γένοιτο χρυσός, ὅσος παρ' ἡμῖν;« — »Σόλ. Εἰ-
πέ μοι, σίδηρος δὲ φύεται ἐν Λυδίᾳ;« — »Κροῖσ. Οὐ πάνυ τι.« —
»Σόλ. Τοῦ βελτίονος ἄρα ἐνδεεῖς ἐστε.« — »Κροῖσ. Πῶς ἀμείνων
ὁ σίδηρος τοῦ χρυσίου;« — »Σόλ. Ἢν ἀποκρίνῃ μηδὲν ἀγανακτῶν,
4 μάθοις ἄν.« — »Κροῖσ. Ἐρώτα, ὦ Σόλων.« — »Σόλ. Πότερον
ἀμείνους οἱ σώζοντές τινας, ἢ οἱ σωζόμενοι πρὸς αὐτῶν;« — Κροῖσ.
Οἱ σώζοντες δηλαδή.« — »Σόλ. Ἆρ' οὖν, ἢν Κῦρος, ὡς λογοποι-
οῦσί τινες, ἐπίῃ Λυδοῖς, χρυσᾶς μαχαίρας σὺ ποιήσῃ τῷ στρα-
τῷ, ἢ ὁ σίδηρος ἀναγκαῖος τότε;« — »Κροῖσ. Ὁ σίδηρος δηλαδή.«
— »Σόλ. Καὶ εἴ γε μὴ τοῦτον παρασκευάσαιο, οἴχοιτο ἄν σοι ὁ χρυ-
5 σὸς ἐς Πέρσας αἰχμάλωτος.« — »Κροῖσ. Εὐφήμει, ἄνθρωπε.« —
»Σόλ. Μὴ γένοιτο μὲν οὖν οὕτω ταῦτα· φαίνῃ δ' οὖν ἀμείνω τοῦ χρυ-
σοῦ τὸν σίδηρον ὁμολογῶν.« — »Κροῖσ. Οὐκοῦν καὶ τῷ θεῷ κε-
λεύεις σιδηρᾶς πλίνθους ἀνατιθέναι με, τὸν δὲ χρυσὸν ὀπίσω αὖ-
6 θις ἀνακαλεῖν;« — »Σόλ. Οὐδὲ σιδήρου ἐκεῖνός γε δεήσεται· ἀλλ' ἤν
τε χαλκόν, ἤν τε χρυσὸν ἀναθῇς, ἄλλοις μέν ποτε κτῆμα, καὶ
ἕρμαιον ἔσῃ ἀνατεθεικώς, Φωκεῦσιν, ἢ Βοιωτοῖς, ἢ Δελφοῖς αὐ-

4. Ἔρωτα ἐρῶσιν) Ὡς ἐπιβατικῶς, πρὸς ἐπίτασιν τοῦ λεγομένου λεγόμενόν ἐστι, κατ' αἰτιατικὴν τιθεμένου τοῦ συστοίχου τῷ ῥήματι ὀνόματος.

ιβ'. Οἴει γάρ) Ὁ Γὰρ παρέλκει κατ' ἔμφασιν κείμενος· ὅπερ διὰ τοῦ Καὶ ἡμεῖς ἐκφέρομεν, οἷον· Καὶ νομίζεις ὅτι ἔχει τινὰ χρείαν τῶν πλίνθων τούτων ὁ Πύθιος.

3. Σίδηρος δὲ) Ὁ δὲ μεταβατικῶς, καὶ οὐ παρέλκων, καὶ δῆλον, οὕτως ἀναγινωσκομένου τοῦ χωρίου. Σίδηρος δέ, εἰπέ μοι, φύεται ἐν Λυδίᾳ; — Μάθοις ἄν) Ἔσται σοι δυνατὸν μαθεῖν. Καὶ ἔστι δυνητικὸς ὁ Ἂν τὸ ῥῆμα μανθάνω.

6. Ἔσῃ ἀνατεθεικώς) Περιφραστικῶς, ἀντὶ ἀναθήσεις. Οὐ δηλ. τῷ θεῷ, ἐκείνοις δέ σοι τὸ ἀνάθημα ἔσται· — Φωκ. ἢ Βοιωτ. ἢ Δελ.) Τῶν γὰρ Φωκέων γεωργησάντων χώραν ἀνατεθειμένην εἰς τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, καὶ καταχριθέντων ὡς ἱεροσύλων, ἠγέρθη ὁ ἱερὸς κληθεὶς πόλεμος· ὅτε καὶ ὁ στρατηγὸς Φωκέων Φιλόμηλος κατέσχε τοὺς θησαυροὺς τοῦ θεοῦ, καὶ διεδίδου τοῖς στρατιώταις· πολλῶν δὲ μαχῶν γενομένων,

ΙΩΑΝΝΙΝΑ 2006

τοῖς, ἢ τινι τυράννῳ, ἢ ληστῇ· τῷ δὲ θεῷ ὀλίγον μέλει τῶν σῶν χρυσοποιῶν.» —»Κροῖσ. Ἀεὶ σύ μου τῷ πλούτῳ προσπολεμεῖς καὶ φθονεῖς.«

ιγ'. Ἑρμ. Οὐ φέρει ὁ Λυδὸς, ὦ Χάρων, τὴν ἀλήθειαν καὶ
τὴν παῤῥησίαν τῶν λόγων, ἀλλὰ ξένον αὐτῷ δοκεῖ τὸ πρᾶγμα,
πένης ἄνθρωπος οὐχ ὑποπτήσσων, τὸ δὲ παριστάμενον ἐλευθέρως
λέγων. Μεμνήσεται δ' οὖν μικρὸν ὕστερον τοῦ Σόλωνος, ὅταν 2
αὐτὸν δέῃ ἁλόντα ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ Κύρου ἀναχθῆναι· ἤ-
κουσα γὰρ τῆς Κλωθοῦς πρώην ἀναγινωσκούσης τὰ ἑκάστῳ ἐπι-
κεκλωσμένα· ἐν οἷς καὶ ταῦτ' ἐγέγραπτο, Κροῖσον μὲν ἁλῶναι
ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν ὑπ' ἐκεινησὶ τῆς Μασσαγετίδος
ἀποθανεῖν. Ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τούτου τοῦ 3
λευκοῦ ἐξελαύνουσαν; — Χάρ. Νὴ Δία. — Ἑρμ. Τώμυρις ἐ-
κείνη ἐστί. Καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη,
ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. Ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ
τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν. Οὗτος βασιλεύσει μετὰ 4
τὸν πατέρα, καὶ μυρία σφαλεὶς ἔν τε τῇ Λιβύῃ, καὶ Αἰθιοπίᾳ, τὸ
τελευταῖον μανεὶς ἀποθανεῖται, ἀποκτείνας τὸν Ἆπιν. — Χάρ. 5
Ὢ πολλοῦ γέλωτος! Ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν, οὕ-
τως ὑπερφρονοῦντας τῶν ἄλλων; ἢ τίς ἂν πιστεύσειεν, ὡς μετ'
ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν
ἀσκῷ αἵματος;

ιδ'. Ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος, ὁ τὸ διάδημα, ᾧ τὸν δακτύλιον ὁ μάγειρος ἀνα-

---

τέλος οἱ Βοιωτοὶ, βοηθούμενοι ὑπὸ Φιλίππου τοῦ Μακεδόνος, ἐνίκησαν τοὺς Φωκεῖς· καὶ τὸ ἱερὸν παρέλαβον. Διόδωρ.) Σικελ. Ις'. νς'.

ιγ'. 2. Ἀναχθ.) Κροῖσος ἁλοὺς ὑπὸ Κύρου ἐπὶ πυρὰν ἀνήχθη δέσμιος, ἔνθα ἀναμνησθεὶς τῶν Σόλωνος λόγων ἐβόησεν ὦ Σόλων, Σόλων! Κῦρος ἀκούσας, καὶ πυθόμενος ἔμαθε πάντα, καὶ τῆς τύχης ἐλεήσας Κροῖσον τῆς πυρᾶς ἐξείλετο, καὶ σύμβουλον τοῦ λοιποῦ εἶχεν. Ἡρόδ. Κλειώ· πς'.

— Ἤκουσα γὰρ) Ἐννοεῖται τὸ Λέγω ταῦτα· ὃ κατασκευάζει ὁ Γάρ. — Ἀποθανεῖν) Κῦρος μετὰ τὴν Λυδίας καὶ Βαβυλῶνος ἅλωσιν, στρατεύσας κατὰ Μασσαγετῶν, ἔθνος Σκυθικὸν, διαβὰς τὸν Ἀράξην ποταμὸν, βρώματα καὶ οἶνον καταλιπὼν, μεθυσθεῖσι Μασσαγέταις ἐπέπεσεν, ἀποκτείνων πολλοὺς αὐτῶν καὶ τὸν υἱὸν Τωμύριδος βασιλίσσης Μασσαγετῶν· ἡ δὲ, συλλέξασα πᾶσαν τὴν δύναμιν, νικᾷ καὶ ἀποκτείνει Κῦρον, συμπλακεῖσα· καὶ τὴν κεφαλὴν τεμοῦσα, εἰς ἀσκὸν ἔθετο πλήρη αἵματος ἐπειποῦσα. Κορέσθητι αἵματος ἀνθρωπείου Κῦρε. Ἡρόδοτ. Κλει. σά. σιά.

4. Ἀποθαν.) Καμβύσης ὁ Κύρου παῖς Αἴγυπτον ἐχειρώσατο ἐκεῖθεν δὲ τὸ μὲν ἐπὶ Ἀμμωνίους κατὰ Λιβύαν στολὲν αὐτοῦ στράτευμα ἐν τῇ ψάμμῳ ἐξηφανίσθη πᾶν· αὐτὸς δὲ ἀπὸ μέσης κατ' Αἰθιοπίαν ὁδοῦ ἐπιστρέψας, διὰ τὸ ἐκλελοιπέναι τὰ ἐπιτήδεια, καὶ τὰ ὑποζύγια, καὶ ἐκ δεκάδος ἕνα ἀποκληροῦντας ἐσθίειν τοὺς στρατιώτας Καὶ Ἆπιν Ἔπαφον, μόσχον, θεὸν Αἰγυπτίων κτείνας· εἰς τὸν μηρὸν τρώσας, ἐμάνη. Ἀποστασίαν δὲ ἀκούσας ἐν Πέρσαις, ἐν τῇ ὁδῷ ἐπιβαίνων τοῦ ἵππου, τῷ ξίφει γυμνωθέντι εἰς τὸν μηρὸν τρωθεὶς, ἀπέθανε. Ἡρόδοτ. ἐν Θαλ.

5. Οὗτος μὲν) Ὁ Κροῖσος δηλ. — Οὗτος δὲ) Ὁ Κῦρος. δηλ.

ιδ'. Ὁ τὸ διάδ.) Φορῶν δηλ. — Νήσφ

διδωσι, τὸν ἰχθῦν ἀνατεμὼν, »Νήσῳ ἐν ἀμφιρύτῃ, βασιλεὺς δὲ
2 τίς εὔχεται εἶναι;« — Ἑρμ. Εὖγε παρῳδεῖς, ὦ Χάρων. Ἀλλὰ
Πολυκράτην ὁρᾷς τὸν Σαμίων τύραννον, πανευδαίμονα οἰόμενον
εἶναι· ἀτὰρ καὶ οὗτος αὐτὸς, ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιαν-
δρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ, ἀνασκολοπισθήσεται, ἄθλιος
ἐκπεσὼν τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ τοῦ χρόνου. Καὶ ταῦτα γὰρ
2 τῆς Κλωθοῦς ἐπήκουσα. — Χάρ. Εὖγε, ὦ Κλωθοῖ, γεννικῶς καὶ
αὐτοὺς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε, καὶ ἀνασκολό-
πιζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες. Ἐν τοσούτῳ δὲ ἐπαιρέσθων,
ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότεροι καταπεσούμενοι. Ἐγὼ δὲ γε-
λάσομαι τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν ἐν τῷ σκαφιδίῳ,
μήτε πορφυρίδα, μήτε τιάραν, ἢ κλίνην χρυσῆν κομίζοντας.

ιέ. Ἑρμ. Καὶ τὰ μὲν τούτων ὧδε ἕξει· τὴν δὲ πληθὺν, ὦ
Χάρων, ὁρᾷς, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς
δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προ-
σαιτοῦντας; — Χάρ. Ὁρῶ ποικίλην τινὰ τὴν διατριβὴν, καὶ με-
στὸν ταραχῆς τὸν βίον, καὶ τὰς πόλεις γε αὐτῶν ἐοικυίας τοῖς
σμήνεσιν, ἐν οἷς ἅπας μὲν ἴδιόν τι κέντρον ἔχει, καὶ τὸν πλησίον
κεντεῖ· ὀλίγοι δέ τινες, ὥσπερ σφῆκες, ἄγουσι, καὶ φέρουσι τὸν
2 ὑποδεέστερον. Ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ τ' ἀφανοῦς οὗτος
ὄχλος τίνες εἰσίν; — Ἑρμ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα, καὶ
ἄγνοιαι, καὶ ἡδοναὶ, καὶ φιλαργυρίαι, καὶ ὀργαὶ, καὶ μίση, καὶ
3 τὰ τοιαῦτα. Τούτων δὲ ἡ ἄγνοια μὲν κάτω ξυναναμέμικται αὐ-
τοῖς, καὶ ξυμπολιτεύεταί γε, νὴ Δία, καὶ τὸ μῖσος, καὶ ἡ ὀργὴ,
καὶ ζηλοτυπία, καὶ ἀμαθία, καὶ ἀπορία, καὶ φιλαργυρία. Ὁ φό-
βος δὲ, καὶ ἐλπίδες, ὑπεράνω πετόμενοι, ὁ μὲν ἐμπίπτων ἐκπλήτ-
τει, ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ· αἱ δ' ἐλπίδες, ὑπὲρ κεφαλῆς
αἰωρούμεναι, ὁπότ' ἂν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν,
ἀναπτάμεναι ᾤχοντο, κεχηνότας αὐτοὺς ἀπολιποῦσαι, ὅπερ καὶ
τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τοῦ ὕδατος.

---

ἐν ἀμφ.) Ὁμήρ. Ὀδυσ. Α. 50. — Εὔχετ) Ὅμηρ. Ὀδ. Α. 180. Ε. 450.

2. Παρῳδ.) Διὰ στίχων λαλεῖς. — Ἐκπεσ.) Πολυκράτης, ὁ Σαμίων τύραννος, εὐτυχέστατος τῶν ἐπὶ τῆς γῆς ἐγένετο· καὶ γὰρ καὶ δακτύλιον, ὃν ἐτίμα μάλιστα, συμβουλῇ Ἀμάσιδος Αἰγυπτίων βασιλέως ἔῤῥιψεν εἰς θάλασσαν, ἵνα τὶ καὶ λυπήσῃ αὐτόν· ἀλλ' ὁ μάγειρος καὶ τοῦτον εἰς ἰχθῦν εὑρὼν ἐπίδωκε, καὶ Ἄμασις τῆς πρὸς αὐτὸν φιλίας ἀπείπατο, οὐκ ἀγαθὰ ἐκ τοιαύτης τεκμαιρόμενος καὶ προσδοκῶν εὐδαιμονίας εἰκότως. Ὀροίτης γὰρ Πέρσης ἀνὴρ, Σαρδείων ὕπαρχος, ἀπατήσας αὐτὸν, ὡς πλεύσειε πρὸς αὐτὸν, καὶ χρήματα λάβοι ἱκανὰ πρὸς μεγάλων ἔργων ἐκτέλεσιν, διὰ Μαιανδρίου τοῦ γραμματιστοῦ αὐτοῦ, ἰδόντος πολλὰ χρήματα ἔχοντα, διαπλεύσαντα εἰς Μαγνησίαν, ἀνεσταύρωσε, κτείνας. Ἡρόδοτ. Θαλ. λθ'. . . ρκέ.

ιέ. 2. Τίνες εἰσιν) Οἷον. Τίνες δὲ εἰσιν ὁ περιπετ. καὶ τλ.

3. Τανταλ.) Κολάζεται γὰρ ὁ Τάνταλος ἐν Ἅδου ἐν Λίμνῃ ἑστὼς, καὶ διψῶν διὰ τὸ ἐξαπατῆσαι τοὺς θεοὺς, καὶ παραθεῖναι αὐτοῖς εἰς βρῶσιν Πέλοπα τὸν υἱὸν αὐτοῦ· προσεγγίζοντα γὰρ τὸ

ΙΩΑΝΝΙΝΑ 2006

ιϛ΄. Ἢν δ᾽ ἀτενίσῃς, κατόψει καὶ Μοίρας ἄνω ἐπικλωθούσας
ἑκάστῳ τὸν ἄτρακτον, ἀφ᾽ οὗ ἠρτῆσθαι ξυμβέβηκεν ἅπαντας ἐκ
λεπτῶν νημάτων. Ὁρᾷς καθάπερ ἀράχνιά τινα καταβαίνοντα
ἐφ᾽ ἕκαστον ἀπὸ τῶν ἀτράκτων; — Χάρ. Ὁρῶ πάνυ λεπτὸν
ἑκάστῳ νῆμα ἐπιπεπλεγμένον γε τὰ πολλά, τοῦτο μὲν ἐκείνῳ, ἐκεῖ-
νο δὲ ἄλλῳ. — Ἑρμ. Εἰκότως, ὦ πορθμεῦ· εἵμαρται γάρ, ἐκεῖνον 2
ὑπὸ τούτου φονευθῆναι· τοῦτον δὲ ὑπ᾽ ἄλλου· καὶ κληρονομῆσαί γε
τοῦτον μὲν ἐκείνου, ὅτου ἂν ᾖ μικρότερον τὸ νῆμα· ἐκεῖνον δὲ αὖ
τούτου· τοιόνδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. Ὁρᾷς δ᾽ οὖν ἀπὸ
λεπτοῦ κρεμαμένους ἅπαντας· καὶ οὗτος μὲν ἀνασπασθεὶς ἄνω με- 3
τέωρός ἐστι, καὶ μετὰ μικρὸν καταπεσὼν, ἀποῤῥαγέντος τοῦ
λίνου, ἐπειδὰν μηκέτι ἀντέχῃ πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον
ἐργάσεται. Οὗτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωρούμενος, ἢν καὶ
πέσῃ, ἀψοφητὶ κείσεται, μόγις καὶ τοῖς γείτοσιν ἐξακουσθέντος
τοῦ πτώματος. — Χάρ. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ.

ιζ΄. Ἑρμ. Καὶ μὴν οὐδ᾽ εἰπεῖν ἔχοις ἂν κατὰ τὴν ἀξίαν, ὅπως
ἐστὶ καταγέλαστα, ὦ Χάρων· καὶ μάλιστα αἱ ἄγαν σπουδαὶ αὐ-
τῶν, καὶ τὸ μεταξὺ τῶν ἐλπίδων οἴχεσθαι, ἀναρπάστους γιγνο-
μένους ὑπὸ τοῦ βελτίστου θανάτου. Ἄγγελοι δὲ αὐτοῦ, καὶ ὑπη-
ρέται μάλα πολλοί, ὡς ὁρᾷς, ἠπίαλοι, καὶ πυρετοί, καὶ φθόαι,
καὶ περιπνευμονίαι, καὶ ξίφη, καὶ λῃστήρια, καὶ κώνεια, καὶ δι-
κασταί, καὶ τύραννοι· καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται,
ἔστ᾽ ἂν εὖ πράττωσιν· ὅταν δὲ σφαλῶσι, πολὺ τὸ ὀττοτοῖ, καὶ τὸ
αἶ αἶ, καὶ τὸ οἴμοι· εἰ δ᾽ εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν, ὅτι θνητοί τε 2
εἰσιν αὐτοί, καὶ ὀλίγον τοῦτον χρόνον ἐπιδημήσαντες τῷ βίῳ ἀπία-
σιν, ὥσπερ ἐξ ὀνείρατος, πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν
σωφρονέστερον, καὶ ἧττον ἠνιῶντο ἀποθανόντες. Νῦν δὲ ἐς ἀεὶ 3
ἐλπίσαντες χρήσεσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέ-
της καλῇ, καὶ ἀπάγῃ, πεδήσας τῷ πυρετῷ, ἢ τῇ φθόῃ, ἀγανα-
κτοῦσι πρὸς τὴν ἀγωγήν, οὔποτε προσδοκήσαντες ἀποσπασθή-
σεσθαι αὐτῶν. Ἢ τί γὰρ οὐκ ἂν ποιήσειεν ἐκεῖνος ὁ τὴν οἰκίαν 4
σπουδῇ οἰκοδομούμενος, καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι,
ὅτι ἡ μὲν ἕξει τέλος αὐτῷ· ὁ δέ, ἄρτι ἐπιθεὶς τὸν ὄροφον, ἄπεισι,

---

στόμα διαφεύγει τὸ ὕδωρ, Ὁμηρ. Ὀδυσ. Λ. 592.

ιϛ΄. Τοῦτο μὲν) Τοῦτο μὲν τὸ νῆμα ὁρῶ ἐπιπεπλεγμένον ἐκείνῳ τῷ ἀνθρώπῳ· ἐκεῖνο δὲ τὸ νῆμα ἐπιπεπλεγμένον ἄλλῳ ἀνθρώπῳ.

2. Κληρονομ.) Τὸ κληρονομῶ καὶ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται· οὕτω καὶ Πλούταρχ. ἐν Σύλλᾳ· ἐκληρονόμησε δὲ καὶ τὴν μητρυιάν.

ιζ΄. Ἐς τ᾽ ἂν εὖ πρ.) Ἕως ἂν εὐτυχῶσιν οὐδὲν τούτων ὅλως εἰς νοῦν αὐτοῖς εἰσέρχεται.

4. Ἀπ.) Σημείωσαι δὲ ὅτι τὸ μὲν ἕξει μελλοντικῶς ἐξενήνεκται· τὸ δὲ ἀπίοι, εὐκτικῶς· τὸ μὲν, ὡς βέβαιον· τὸ δ᾽ ὡς ἀμφιβαλλόμενον· πιθανὸν γὰρ καὶ τελέσαντα τὴν οἰκίαν, οἰκῆσαι ἐν αὐτῇ, καὶ μὴ προαποθανόντα. — Καταλιπ.) Καταλείπω,

τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μηδὲ δειπνή-
5 σας ἄθλιος ἐν αὐτῇ; Ἐκεῖνος μὲν γὰρ ὁ χαίρων, ὅτι ἄῤῥενα παῖ-
δα ἔτεκεν αὐτῷ ἡ γυνή, καὶ τοὺς φίλους διὰ τοῦτο ἑστιῶν, καὶ τοὔ-
νομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο, ὡς ἑπταέτης γενόμενος ὁ
παῖς τεθνήξεται, ἆρα ἄν σοι δοκῇ χαίρειν ἐπ' αὐτῷ γεννωμένῳ;
6 ἀλλὰ τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον ὁρᾷ,
τὸν τοῦ ἀθλητοῦ πατέρα τοῦ Ὀλύμπια νενικηκότος· τὸν γείτονα
δὲ, τὸν ἐκκομίζοντα τὸ παιδίον οὐχ' ὁρᾷ, οὐδὲ εἶδεν ἀφ' οἵας αὐτῷ
7 κρόκης ἐκρέματο. Τοὺς μὲν γὰρ περὶ τῶν ὅρων διαφερομένους ὁρᾷς,
ὅσοι εἰσὶ, καὶ τοὺς ξυναγείροντας τὰ χρήματα, εἶτα, πρὶν ἀπο-
λαῦσαι αὐτῶν, καλουμένους ὑφ' ὧν εἶπον ἐπιόντων ἀγγέλλων τε
καὶ ὑπηρετῶν.

ιη. Χάρ. Ὁρῶ ταῦτα πάντα, καὶ πρὸς ἐμαυτόν γε ἐννοῶ, ὅ,τι
τὸ ἡδὺ αὐτοῖς παρὰ τον βίον, ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερούμενοι ἀ-
2 γανακτοῦσιν. — Ἑρμ. Ἢν γοῦν τοὺς βασιλέας ἴδῃ τις αὐτῶν, οἵ-
περ εὐδαιμονέστατοι εἶναι δοκοῦσιν, ἔξω τοῦ ἀβεβαίου, καὶ ὡς φῂς
ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ εὑρήσει προ-
σόντα αὐτοῖς, φόβους, καὶ ταραχὰς, καὶ μίση, καὶ ἐπιβουλὰς, καὶ
ὀργὰς, καὶ κολακείας· τούτοις γὰρ ἅπαντες ξύνεισιν. Ἐῶ πένθη,
καὶ νόσους, καὶ πάθη, ἐξ ἰσοτιμίας δηλαδὴ ἄρχοντα αὐτῶν· ὅπου
δὲ τὰ τούτων πονηρὰ, λογίζεσθαι καιρὸς, οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη.

ιθ΄. Χάρ. Ἐθέλω γοῦν σοι, ὦ Ἑρμῆ, εἰπεῖν, ᾧ τινι ἐοικέναι μοι
ἔδοξαν οἱ ἄνθρωποι, καὶ ὁ βίος ἅπας αὐτῶν. Ἤδη ποτὲ πομφό-
λυγας ἐν ὕδατι ἐθεάσω ὑπὸ κρουνῷ τινι καταῤῥάττοντι ἀνισταμέ-
2 νας; τὰς φυσαλίδας λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρός· ἐκείνων
τοίνυν αἱ μέν τινες μικραί εἰσι, καὶ αὐτίκα ἐκραγεῖσαι ἀπέσβησαν·
αἱ δ' ἐπὶ πλέον διαρκοῦσι· καὶ προσχωρουσῶν αὐταῖς τῶν ἄλλων
αὗται ὑπερφυσώμεναι ἐς μέγιστον ὄγκον αἴρονται· εἶτα μέντοι κἀ-
κεῖναι πάντως ἐξεῤῥάγησάν ποτε· οὐ γὰρ οἷόν τε ἄλλως γενέσθαι
3 Τοῦτό ἐστιν ὁ ἀνθρώπων βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυση-
μένοι, οἱ μὲν μείζους, οἱ δ' ἐλάττους· καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχου-
σι, καὶ ὠκύμορον τὸ φύσημα· οἱ δὲ ἅμα τῷ ξυστῆναι ἐπαύσαν-
4 το. Πᾶσι δ' οὖν ἀποῤῥαγῆναι ἀναγκαῖον. — Ἑρμ. Οὐδὲν χεῖ-

---

5. Ἐκεῖνος μὲν) Ἐξ ὑποθέσεως ταῦτα δοκεῖ. Εἰ δὲ καὶ πρός τινα ἀναφέρει τὸν λόγον, ἐμοὶ ἄδηλον γοῦν.

ιη. 2. Ἔξω τοῦ ἀβ.) Ἵνα μὴ τὸ ἀβέβαιον καὶ ἀμφίβολον τῆς τύχης εἴπω· ἢ πρὸς τῷ ἀβεβαίῳ καὶ ἀμφιβόλῳ τῆς τύχης. — Ἐξ ἰσοτιμ.) Ἰσοτίμως δηλ. καὶ πένητα καὶ πλούσιον, καὶ ἄρχοντα καὶ ἰδιώτην, καὶ πᾶν εἶδος ἀνθρώπων.

ιθ΄. 2. Ἀπέσβησ.) Ἔστι δὲ κατὰ ἀντιχρονισμόν· τὰ γὰρ ὡς βέβαια ἐν τῷ λόγῳ παριστάμενα διὰ παρῳχημένων ἐκφράζεται.

4. Φύλλοις) Ἰλ. Ζ. 146.

Οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

Καὶ Ἰλ. Φ. 465.

. . . Οἳ φύλλοισιν ἐοικότες.

Ε.Υ.Δ. τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρον σὺ τοῦ Ὁμήρου εἴκασας, ὦ Χάρων, ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ.

κ'. Χάρ. Καὶ τοιοῦτοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιοῦσι, καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους ἀρχῶν πέρι, καὶ τιμῶν, καὶ κτήσεων ἁμιλλώμενοι· ἅπερ ἅπαντα καταλιπόντας αὐτοὺς
δεήσει, ἕνα ὀβολὸν ἔχοντας, ἥκειν παρ' ἡμᾶς. Βούλει οὖν, ἐπείπερ 2
ἐφ' ὑψηλοῦ ἐσμέν, ἀναβοήσας παμμέγεθες παραινέσω αὐτοῖς, ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ ἀεὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων, ὦ μάταιοι, τί ἐσπουδάκατε περὶ ταῦτα; παύσασθε κάμνοντες· οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε· οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἀΐδιόν ἐστιν, οὐδ' ἂν ἀπάγοι τις αὐτῶν τι ξὺν αὐτῷ ἀποθανών· ἀλλ' ἀνάγκη, τὸν μὲν γυμνὸν οἴχεσθαι· τὴν οἰκίαν δὲ, καὶ τὸν ἀγρὸν, καὶ τὸ χρυσίον, ἀεὶ ἄλλων εἶναι, καὶ
μεταβάλλειν τοὺς δεσπότας. Εἰ ταῦτα, καὶ τὰ τοιαῦτα, ἐξ ἐπηκόου 3
ἐμβοήσαιμι αὐτοῖς, οὐκ ἂν οἴει μέγα ὠφεληθῆναι τὸν βίον, καὶ σωφρονεστέρους ἂν γενέσθαι παραπολύ;

κά. Ἑρμ. Ὦ μακάριε, οὐκ οἶσθα, ὅπως αὐτοὺς ἡ ἄγνοια, καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ' ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα. Τοσούτῳ κηρῷ ἔβυσαν αὐτὰ, οἷόνπερ Ὀδυσσεὺς
τοὺς ἑταίρους ἔδρασε δέει τῆς Σειρήνων ἀκροάσεως. Πόθεν ἂν 2
οὖν ἐκεῖνοι δυνηθεῖεν ἀκοῦσαι, ἢν καὶ σὺ κεκραγὼς διαῤῥαγῇς; Ὅπερ γὰρ παρ' ἡμῖν ἡ λήθη δύναται, τοῦτο ἐνταῦθα ἡ ἄγνοια ἐργάζεται. Πλὴν ἀλλ' εἰσὶν αὐτῶν ὀλίγοι, οὐ παραδεδεγμένοι τὸν κηρὸν ἐς τὰ ὦτα, πρὸς τὴν ἀλήθειαν ἀποκλίνοντες· ὀξὺ δεδορ-
κότες ἐς τὰ πράγματα, καὶ κατεγνωκότες οἷά ἐστιν. — Χάρ. Οὐ- 3
κοῦν ἐκείνοις γοῦν ἐμβοήσωμεν; — Ἑρμ. Περιττὸν τοῦτο, λέγειν πρὸς αὐτοὺς, ἃ ἴσασιν. Ὁρᾷς, ὅπως ἀποσπάσαντες τῶν πολλῶν καταγελῶσι τῶν γιγνομένων, καὶ οὐδαμῇ οὐδαμῶς ἀρέσκονται αὐτοῖς, ἀλλὰ δῆλοί εἰσι δρασμὸν ἤδη βουλεύοντες παρ' ὑμᾶς ἀπὸ τοῦ βίου; καὶ γὰρ μισοῦνται, ἐλέγχοντες αὐτῶν τὰς ἀμα-
θίας. — Χάρ. Εὖγε, ὦ γεννάδαι· πλὴν πάνυ ὀλίγοι εἰσίν, ὦ 4
Ἑρμῆ. — Ἑρμ. Ἱκανοὶ καὶ οὗτοι· ἀλλὰ κατίωμεν ἤδη.

κβ'. Χάρ. Ἓν ἔτι ἐπόθουν εἰδέναι, ὦ Ἑρμῆ, καὶ μοι δείξας

---

κά. Ἔδρασε) Μετὰ τὴν Τροίας ἅλωσιν Ὀδυσσεὺς δεκαετίαν πλανηθεὶς, καὶ εἰς Σειρῆνας ἐγένετο πλησίον Σικελίας οἰκούσας. Θαλάσσια δὲ αὗται θηρία, τὰ μέχρι μέσης παρθένοι, τὸ δὲ λοιπὸν σῶμα ἰχθύες οὖσαι· ᾖδον δὲ μάλα λιγυρῶς, ὥστε τοὺς διαβαίνοντας, ὑφ' ἡδονῆς εἰς τὴν θάλασσαν ἐμπίπτοντας, καταβιβρώσκεσθαι ὑπ' αὐτῶν. Ὀδυσσεὺς οὖν φράξας τῶν ἑταίρων τὰ ὦτα κηρῷ, καὶ ἑαυτὸν τῷ ἱκρίῳ δήσας τοῦ πλοίου, προσέταξε μὴ λῦσαι αὐτὸν, καὶ μάλα βουλόμενον· καὶ οὕτως ἀπέφυγε τὸν κίνδυνον· Ὁμηρ. Ὀδυσ. Μ. 165 . . . 20.

3. Λέγειν) Τὸ λέγειν ἐπεξηγηματικόν. οἷον· περιττὸν ἐστὶ τοῦτο· τὸ λέγειν δηλ. αὐτοῖς ταῦτα, ἃ ἴσασιν.

αὐτὸ ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιηκὼς, τὰς ἀποθήκας
τῶν σωμάτων, ἵνα κατορύττουσι, θεάσασθαι. — Ἑρμ. Ἠρία,
2 ὦ Χάρων, καὶ τύμβους, καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. Πλὴν
τὰ πρὸ τῶν πόλεων ἐκεῖνα τὰ χώματα ὁρᾷς, καὶ τὰς στή-
λας, καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα, καὶ σωματο-
3 φυλάκιά ἐστι. — Χάρ. Τί οὖν ἐκεῖνοι στεφανοῦσι τοὺς λίθους,
καὶ χρίουσι μύρῳ; οἱ δὲ καὶ πυρὰν νήσαντες πρὸ τῶν χωμά-
των, καὶ βόθρον τινὰ ὀρύξαντες, καίουσί τε ταυτὶ τὰ πολυ-
τελῆ δεῖπνα, καὶ εἰς τὰ ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν
4 εἰκάσαι, ἐγχέουσιν; — Ἑρμ. Οὐκ οἶδα, ὦ πορθμεῦ, τί ταῦτα
πρὸς τοὺς ἐν ᾅδου· πεπιστεύκασι δ᾽ οὖν τὰς ψυχὰς ἀναπεμ-
πομένας κάτωθεν δειπνεῖν μὲν ὡς οἷόν τε περιπετομένας τὴν
κνίσσαν, καὶ τὸν καπνὸν, πίνειν δὲ ἀπὸ τοῦ βόθρου τὸ μελίκρα-
τον. — Χάρ. Ἐκείνους ἔτι πίνειν, ἢ ἐσθίειν, ὧν τὰ κρανία
ξηρότατα; καί τοι γελοῖός εἰμί σοι λέγων ταῦτα, ὁσημέραι κα-
5 τάγοντι αὐτούς. Οἶσθ᾽ οὖν, εἰ δύναιντ᾽ ἂν ἔτι ἀνελθεῖν ἅπαξ ὑ-
ποχθόνιοι γενόμενοι; ἐπεί τοι καὶ παγγέλοια ἂν, ὦ Ἑρμῆ, ἔ-
πασχον, οὐκ ὀλίγα πράγματ᾽ ἔχων, εἰ ἔδει μὴ κατάγειν μό-
6 νον αὐτοὺς, ἀλλὰ καὶ αὖθις ἀνάγειν πιομένους. Ὦ μάταιοι,
τῆς ἀνοίας, οὐκ εἰδότες ἡλίκοις ὅροις διακέκριται τὰ νεκρῶν,
καὶ τὰ ζώντων πράγματα· καὶ οἷα τὰ παρ᾽ ἡμῖν ἐστι· καὶ ὅτι

Κάτθαν᾽ ὁμῶς ὅ, τ᾽ ἄτυμβος ἀνὴρ, ὅστ᾽ ἔλλαχε τύμβου,
Ἐν δ᾽ ἰῇ τιμῇ Ἶρος, κρείων τ᾽ Ἀγαμέμνων.
Θερσίτῃ δ᾽ ἶσος Θέτιδος παῖς ἠϋκόμοιο.
Πάντες δ᾽ εἰσὶν ὁμῶς νεκύων ἀμενηνὰ κάρηνα,
Γυμνοί τε, ξηροί τε, κατ᾽ ἀσφοδελὸν λειμῶνα.

---

κβ΄. Ἔσῃ . . . πεποιηκ.) Ἀντὶ Ποιήσεις· κατὰ περίφρασιν γὰρ εἴρηται. — Ἵνα) Τὸ Ἵνα τοπικὸν ἀντὶ τοῦ Ἔνθα. — Θεάσασθαι) Θεάομαι, ῶμαι. Ἐξαρτᾶται δὲ ἀπὸ τοῦ Ἐπόθουν· ἵν᾽ ᾖ. Ἐπόθουν θεάσασθαι καὶ τὰς θήκας τῶν ἀνθρωπείων σωμάτων, ἔνθα κατορύττουσιν αὐτά.

3. Ἐγχέουσ.) Ἔθος παρ᾽ Ἕλλησιν οὕτω τὰς κηδείας ποιεῖσθαι. Ὀγδόην ἡμέραν μετὰ τὸν θάνατον ἦγον ἐπὶ κλίνης τὸν νεκρὸν ἐπὶ τὸν τάφον, αὐλητῶν ἑπομένων· ἐγγὺς δὲ τοῦ τάφου ἐπὶ πυρᾶς ἔκαιον τὸ σῶμα, ἄνθη, μέλι, οἶνον, κρέα, ἄρτον, ὅπλα, χρυσοῦφῆ ἐπὶ τῆς πυρᾶς ῥίπτοντες, καὶ περιῤῥαντίζοντες τὸν μὲν τάφον οἴνῳ, θαλασσίῳ δὲ ὕδατι τοὺς περιεστῶτας διὰ κλάδου ἐλαίας· Ἐν δὲ μηνὶ τῷ ἀνθεστηριῶνι, κοινὴν ἑορτὴν ἐποιοῦντο, εἰς τιμὴν τῶν θανόντων, στεφανοῦντες τοὺς λίθους, καὶ χρίοντες μύρῳ, καὶ ἐπὶ πυρᾶς καίοντες δεῖπνα πολυτελῆ, καὶ εἰς λάκκους χέοντες οἶνον καὶ μέλι. Ἐπίστευον γὰρ τὰς ψυχὰς ἀναπεμπομένας δειπνεῖν τὴν κνίσσαν, καὶ τὸν καπνὸν· καὶ πίνειν ἐκ τοῦ βόθρου τὸ μελίκρατον. Ἔστι δὲ τὰ τοιαῦτα καὶ παρ᾽ ἄλλοις τῶν ποιητῶν ἐρανίσασθαι, καὶ παρ᾽ Ὁμήρῳ. Ἰλ. Ψ. 164. 237. Ὀδύσ. Κ. 516.

6. Καὶ ὅτι) Οἱ στίχοι οὗτοι παρ᾽ Ὁμήρου κατὰ παρῳδίαν ἐλήφθησαν· καὶ γὰρ Ἰλ. Ι, 319. φησί.

Ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός.
Κάτθαν᾽ ὁμῶς ὅ, τ᾽ ἀεργὸς ἀνὴρ· ὅ, τε πολλὰ ἐοργώς.

Καὶ Ὀδυσ. Κ. 521.

Πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα. Καὶ Ὀδυσ. Λ. 537.

. . Ψυχὴ δὲ ποδώκεος Αἰακίδαο Φοίτα, μακρὰ βιβῶσα, κατ᾽ ἀσφοδελὸν λει-

Ε.Ψ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κγ'. Ἑρμ. Ἡράκλεις, ὡς πολὺν τὸν Ὅμηρον ἐπαντλεῖς. Ἀλλ'
ἐπείπερ ἀνέμνησάς με, θέλω σοι δεῖξαι τὸν τοῦ Ἀχιλλέως τά-
φον· ὁρᾷς τὸν ἐπὶ τῇ θαλάττῃ; Σίγειον μὲν ἐκεῖνο τὸ Τρωϊ-
κόν· ἀντικρὺ δὲ ὁ Αἴας τέθαπται ἐν τῷ Ῥοιτείῳ. — Χάρ. Οὐ
μεγάλοι, ὦ Ἑρμῆ, οἱ τάφοι. Τὰς πόλεις δὲ τὰς ἐπισήμους
δεῖξόν μοι ἤδη, ἃς κάτω ἀκούομεν· τὴν Νῖνον τὴν Σαρδαναπάλου, 2
καὶ Βαβυλῶνα, καὶ Μυκήνας, καὶ Κλεωνὰς, καὶ τὴν Ἴλιον αὐ-
τήν. Πολλοὺς γοῦν μέμνημαι διαπορθμεύσας ἐκεῖθεν, ὡς δέκα
ὅλων ἐτῶν μηδὲ νεωλκῆσαι, μηδὲ διαψύξαι τὸ σκαφίδιον. —
Ἑρμ. Ἡ Νῖνος μὲν, ὦ Πορθμεῦ, ἀπόλωλεν ἤδη, καὶ οὐδὲν ἴχ- 3
νος ἔτι λοιπὸν αὐτῆς· οὐδ' ἂν εἴποις ὅπου ποτ' ἦν. Ἡ Βα-
βυλὼν δέ σοι ἐκείνη ἐστὶν, ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβο-
λον, οὐ μετὰ πολὺ καὶ αὐτὴ ζητηθησομένη, ὥσπερ ἡ Νῖνος.
Μυκήνας δὲ, καὶ Κλεωνὰς, αἰσχύνομαι δεῖξαί σοι· καὶ μάλι-
στα τὸ Ἴλιον. Ἀποπνίξεις γὰρ εὖ οἶδ' ὅτι τὸν Ὅμηρον κα- 4
τελθὼν ἐπὶ τῇ μεγαληγορίᾳ τῶν ἐπῶν. Πλὴν ἀλλὰ πάλαι μὲν
ἦσαν εὐδαίμονες, νῦν δὲ τεθνήκασι καὶ αὗται. Ἀποθνήσκουσι
γὰρ, ὦ πορθμεῦ, καὶ πόλεις, ὥσπερ ἄνθρωποι· καὶ τὸ πα-
ραδοξότερον, καὶ ποταμοὶ ὅλοι. Ἰνάχου οὖν οὐδὲ τάφρος ἐν 5
Ἄργει ἔτι καταλείπεται. — Χάρ. Παπαὶ τῶν ἐπαίνων, Ὅμη-
ρε, καὶ τῶν ὀνομάτων, Ἴλιος ἱρὴ, καὶ εὐρυάγυια καὶ ἐϋκτίμεναι
Κλεωναί.

κδ'. Ἀλλὰ μεταξὺ λόγων, τίνες εἰσὶν οἱ πολεμοῦντες ἐκεῖ-
νοι, ἢ ὑπὲρ τίνος ἀλλήλους φονεύουσιν; — Ἑρμ. Ἀργείους ὁρᾷς,
ὦ Χάρων, καὶ Λακεδαιμονίους, καὶ τὸν ἡμιθνῆτα ἐκεῖνον στρα-
τηγὸν Ὀθρυάδην, τὸν ἐπιγράφοντα τὸ τρόπαιον τῷ αὑτοῦ αἵ-
ματι. — Χάρ. Ὑπὲρ τίνος δὲ αὐτοῖς, ὦ Ἑρμῆ, ὁ πόλεμος; — 2
Ἑρμ. Ὑπὲρ τοῦ πεδίου αὐτοῦ, ἐν ᾧ μάχονται. — Χάρ. Ὢ τῆς ἀ-
νοίας, οἵγε οὐκ ἴσασιν, ὅτι κἂν ὅλην τὴν Πελοπόννησον ἕκαστος

---

μῶνα. — Ἔλλαχε) Ἀντὶ ἔλαχεν· οἱ γὰρ ποιηταὶ διπλασιάζουσι τὰ σύμφωνα διὰ τὸ μέτρον· ἵνα μακρὸν τὸ πρὸ αὐτῶν φωνῆεν ποιήσωσι.

κγ'. Τέθαπ.) Ῥοίτειον καὶ Σίγειον πλησίον ἀλλήλων εἰσίν· ἔνθα οἱ τάφοι Ἀχιλλέως καὶ Αἴαντος τῶν ἐν τῇ Τροίᾳ ἀποθανόντων.

2. Νεωλκ.) Δέκα γὰρ ἔτη ἐπολιόρκουν Ἕλληνες Τροίαν, εἷλον δὲ τῷ δεκάτῳ.

3. Ἡ τὸν μέγ. περίβ.) Ἐννοεῖται Ἔχουσα.

4. Εὖ οἶδ' ὅτι) Καθ' ὑπερβιβασμὸν· τὸ γὰρ φύσει τοιοῦτον. Εὖ οἶδ' ὅτι ἀποπνίξεις· καὶ τλ. 5. Καταλείπετ.) Ἴναχος ποταμὸς ἐν Ἄργει παρὰ τοῦ παλαιοτάτου βασιλέως Ἀργείων Ἰνάχου τὸ ὄνομα λαβών. Οὗτος ψηφισάμενος τὴν Ἀργείων χώραν Ἥρας εἶναι, Ποσειδῶνος ἀντιλέγοντος, ἐστερήθη τοῦ ὕδατος, καὶ θέρους αὖα ἐστὶν αὐτοῦ τὰ ῥεύματα, ὅτι μὴ ὕοντος τοῦ θεοῦ. Παυσαν. β'. — Ἴλιος ἱρ. καὶ εὐρ.) Συνεχῶς Ὅμηρος τούτοις τοῖς ἐπιθέτοις κοσμεῖ Τροίαν.

κδ'. Ἡμιθνῆτα) Ἡμιθνής. Θυρεῶν ἐν Πελοποννήσῳ χωρίου Ἀργείων μέρος κατεχόντων Λακεδαιμονίων, οὐκ ἠνέσχοντο Ἀργεῖοι. Συνέθεντο οὖν ἀμφότεροι, λογάδας ἑκατέρωθεν τριακοσίους ἐκλέξαντες, τοῦ παντὸς καταλιπεῖν αὐτοῖς

αὐτῶν κτήσωνται, μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τοῦ Αἰακοῦ· τὸ δὲ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργήσουσι, πολλάκις ἐκ βόθρων τὸ τρόπαιον ἀνασπάσαντες τῷ ἀρότρῳ. —
3 Ἑρμ. Οὕτω μὲν ταῦτα ἔσται. Ἡμεῖς δὲ καταβάντες ἤδη, καὶ κατὰ χώραν εὐθετήσαντες αὖθις τὰ ὄρη, ἀπαλλαττώμεθα, ἐγὼ μὲν, καθὰ ἐστάλην, σὺ δὲ ἐπὶ τὸ πορθμεῖον· ἥξω δέ σοι μετ'
4 ὀλίγον καὶ αὐτὸς νεκροστολῶν. — Χάρ. Εὖγε ἐποίησας, ὦ Ἑρμῆ· εὐεργέτης ἐς ἀεὶ ἀναγεγράψῃ. Ὠνάμην δέ τι διὰ σὲ τῆς ἀποδημίας. . . . . οἷά ἐστι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγματα· [βασιλεῖς, πλίνθοι χρυσαῖ, ἑκατόμβαι, μάχαι·] Χάρωνος δὲ, οὐδεὶς λόγος.

## Ζ. ΠΛΟΙΟΝ Η ΕΥΧΑΙ. (*)

**Λυκῖνος, Τιμόλαος, Σάμιππος, καὶ Ἀδείμαντος.**

ά. Λυκ. Οὐκ ἐγὼ ᾽λεγον ὅτι θᾶττον τοὺς γῦπας ἕωλος νεκρὸς ἐν φανερῷ κείμενος, ἢ θέαμά τι τῶν παραδόξων Τιμόλαον διαλάθοι, κἂν ἐς Κόρινθον δέοι, ἀπνευστὶ θέοντα ἀπιέναι διὰ
2 τό; οὕτω φιλοθεάμων σύ γε καὶ ἄοκνος τὰ τοιαῦτα. — Τιμ. Τί γὰρ ἔδει καὶ ποιεῖν, ὦ Λυκῖνε, σχολὴν ἄγοντα, πυθόμενον οὕτως ὑπερμεγέθη ναῦν, καὶ πέρα τοῦ μέτρου ἐς τὸν Πειραιᾶ κατα-
3 πεπλευκέναι, μίαν τῶν ἀπ' Αἰγύπτου εἰς Ἰταλίαν σιταγωγῶν; οἶμαι δὲ καὶ σφὼ, σέ τε καὶ Σάμιππον τουτονὶ, μὴ κατ' ἄλλο τι ἐξ ἄστεος ἥκειν, ἢ ὀψομένους τὸ πλοῖον. — Λυκ. Νὴ Δία,

---

τὴν κρίσιν τουτ' ἔστι τῶν νικησάντων εἶναι τὸ χωρίον. Τῶν δ' ἑξήκοντα μαχεσαμένων τὴν ἡμέραν πᾶσαν, κατελείφθησαν τρεῖς· Ἀλκήνωρ, καὶ Χρόμιος, Ἀργεῖοι· οἳ ὡς νικήσαντες ἦλθον εἰς Ἄργος. Ὀθρυάδης δὲ, Λακεδαιμόνιος· ὃς σκυλεύσας Ἀργείων τοὺς νεκροὺς, ἔστη ἐν τῇ τάξει. Ἔριδος δὲ ἐκ τούτου γενομένης, ὁπότεροι νικήσειαν, εἰς μάχην ἦλθον, καὶ ἐνίκησαν Λακεδαιμόνιοι. Ὀθρυάδης δὲ κατεχρήσατο ἑαυτὸν ἐν Θυρέαις, αἰσχρὸν εἶναι κρίνων μὴ συνταφῆναι τοῖς ἑτέροις ἐκεῖ πεσοῦσιν. Ἡροδ. Κλει. πβ΄. — Ἐπιγράψ.) Ἐπέγραψε δὲ, Διὶ τροπαιούχῳ.

2. Κτήσωντ.) Τὸ δὲ πληθυντικὸν πρὸς τὸ σημαινόμενον· τὸ γὰρ Ἕκαστος πολλοὺς καθ' ἕνα δηλοῖ.

3. Νεκροστ.) Ὁ γὰρ Ἑρμῆς ἦν ὁ εἰς Ἅδου πέμπων τὰς ψυχὰς τῶν νεκρῶν.

4. Ἀναγεγρ.) Ἀναγράφω, τὸ παρ' ἡμῖν Γράφω εἰς τὸ κατάστιχον ὡς εὐεργέτην παντοτεινόν. Τοῦτο δὲ ἐλήφθη ἐκ τοῦ Περσικοῦ ἔθους· οἱ γὰρ Περσῶν βασιλεῖς τοὺς εἴτι ὠφελοῦντας τῷ ἑαυτοῦ οἴκῳ φαινομένους, ἐν τῷ Κώδικι ἀνεγράφοντο εὐεργέτας· ὅθεν καὶ Ξέρξης πρὸς Παυσανίαν τὸν Λακεδαιμόνιον γράφων, ἔλεγε. Κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἀνάγραπτος· Θουκυδ. Α΄, ρλθ΄. — Οὐδεὶς λόγ.) Ἐννοεῖται Ἐστί.

(*) Ὁ Διάλογος οὗτος ἐκλήθη Πλοῖον μὲν, διότι περί τινος πλοίου σιταγωγοῦ Αἰγυπτίου ὁ λόγος. Εὐχαὶ δὲ, διότι ἕκαστον τῶν τοῦ διαλόγου τούτου προσώπων ὑποτίθεται εὐχόμενον ὅ,τι κατὰ θυμὸν αὐτῷ εἴη ἔχειν· καὶ ὅ,τι, ἔχων ἕκαστος, ἃ ηὔχετο, ποιήσειεν ἄν.

ά. Οὐκ ἐγὼ ᾽λεγον.) Κρᾶσις δὲ τοῦτο ἀντὶ τοῦ οὐκ ἐγὼ ἔλεγον. — Ὅτι θᾶττον τοὺς γύπ.) Ὀρνεά εἰσιν οἱ γῦπες παρακοράκια, ἀπὸ τῶν θνησιμαίων ζώων τρεφόμενα· ὅθεν, ἵνα δείξῃ τὴν Τιμολάου πρὸς τὰ θεάματα προθυμίαν, φησὶν ὅτι εὐχερέστερόν ἐστι διαλαθεῖν τοὺς γῦπας, εἴπου τις κεῖτο νεκρὸς ἕωλος ἐν φανερῷ· ἢ Τιμόλαον, θέαμά τι τῶν παραδόξων λεγόμενόν που εἶναι· καὶ εἰς Κόρινθον δὲ, ἂν δέῃ, ἀπνευστὶ θέων ἄπεισι διὰ τὸ θέαμα τοῦτο.

2. Καὶ ποιεῖν) Ὁ Καὶ παρέλκει μὲν, σημαίνει δέ τινα ἑτοιμότητα. Καὶ σύνη-

Ε.Γ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006